AUTHOR:

HERACLITUS

TITLE:

HERACLITI EPHESII RELIQUIAE...

PLACE:

OXONII

DATE:

1877

Master Negative #
93-81613-19

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record



183H41 | 1877.
I Heraclitus, of Ephesus ~~fl 500 B.C.~~
Reliquiae recensuit I Bywater ...
Oxonii ...
Oxonii 1877 0 13 + [1] + 89 p

ANOTHER COPY IN MEDICAL LIBRARY

Restrictions on Use:

TECHNICAL MICROFORM DATA


FILM SIZE: 35mm REDUCTION RATIO: 11X
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 7/28/93 INITIALS BAP
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT


AIIM



Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202







MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

M. L. Earle

HERACLITI EPHESII

RELIQUIAE.

RECENSUIT

I. BYWATER

COLLEGII EXONIENSIS SOCIUS.

APPENDICIS LOCO ADDITAE SUNT DIOGENIS LAERTII VITA HERACLITI
PARTICULAE HIPPOCRATEI DE DIAETA LIBRI PRIMI
EPISTOLAE HERACLITEAE.

CUM INDICE DUPLICI SCRIPTORUM ET VERBORUM.

Oxonii:

E TYPOGRAPHEO CLARENDONIANO.

M DCCC LXXVII.

PRAEFATIO.

Ex quo Schleiermacher primis huius saeculi annis Heraclitea collegit permulti extiterunt qui obiter ea dataque occasione adtigerint: duo autem operam navarunt ut de universo reliquiarum corpore dissererent Ferdinandus Lassallius ac Paulus Schuster, alter litteratus homo et perquam ingeniosus, hic rei philologicae peritior, qui id potissimum egit ut fragmentis ad priscum ordinem coniectura redactis atque unde unde suppletis species conciliaretur Heraclitei libri. Et inter historicos Zeller rationem Heracliti ex fragmentis veterumque testimoniis restitutam docte et diserte exposuit. Sed est mihi praecipue memorandus Iacobus Bernaysius, investigator Heracliteorum interpresque sagacissimus; qui etiam Epistolas Heraclito suppositas recensuit commentarioque exornavit qualem ab uno Bernaysio accipere solemus.

Novam Heracliteorum editionem cum aggredior, et rem et tempora arbitror postulare ut id fere in Heraclito fiat quod iam in Ennio et scenicis Romanis summi viri Vahlenus et Ribbeckius fecerunt. Quorum exemplo hanc libelli mei formam constitui. Primo loco fragmenta posui absque mole disputationum, ordine eo quem ad nexum sententiarum satis respondere credidi—non equidem ignarus de re tam dubia statuisse alios aliter et posse statuere. His subiacent testimonia veterum et quidquid habui quod firmaret infirmaret quomodocumque illustraret fragmentorum fidem. Tertio loco adnotationem criticam dedi quam brevissimam; cuius brevitatis meminerint velim si qui mirabuntur me non omnes omnium opiniones ac suspiciones in notulis commemoravisse [1].

[1] Indicem subicio eorum qui hoc saeculo Heracliteis criticam operam contulerunt; praecipuos tantum memoro:—Th. Bergk, (1) Exercitatt. crit. spec. vi. p. 9 (Ind. lect. hib. Marburg. 1850); (2) ad Aristot. de Mundo (Ind. schol. hib. Hal. 1861); (3) ad Lyric. Graec. p. 792 ed. tert.—I. Bernays, (1) in Heracliteis: partic. i.: Bonn. 1848; (2) Mus. Rhen. N. S. vii. p. 90; (3) Mus. Rhen. N. S. ix. p. 241; (4) Epist. Critica ap. Bunsen. Analect. Ante-Nic. t. 3; (5) Theophrastos über Frömmigkeit p. 190; (6) Die Heraklitischen Briefe: Berol. 1869—C. G. Cobet, (1) Mnemos. t. ix. p. 437; (2) Λογίου Ἑρμοῦ t. i. p. 187; (3) Miscell. Crit. p. 135—Max Heinze, Die Lehre vom

In serie fragmentorum duo nunc demum comparent, XXXIX. dico et CXXX., quorum illud ex Tzetze extraxi[2], hoc ope codicis Vaticani graece primus exhibui: praeterea, si recte se habent quae ad LIV. disputavi, possis iam pro frustulo illo miserrimo integrum aphorismum reponere, quod nos periclitari ipsos lex ac condicio huiusce operis vetabat. Sed ante omnia testimoniis incubui undique conquirendis idque eo pacto ut, sicubi Heraclitea latent sine nomine citata aut respecta apud antiquos, ne hos quidem locos sciens praetermiserim; nam ex his quoque videmus Heracliti sententias quales et quemadmodum olim circumferebantur sive ex ipso libro citatae sive in recente libri memoria. Cuius rei ut exemplum adponam, fr. XCI. unus Stobaeus conservat, non ita locuples auctor ubi de scriptis agitur perantiquis: at noti imitatores Heracliteorum, pseudo-Hippocrates Cleanthes Stoicosque secutus Plutarchus, potissima quaeque in fragmento nostro ita agnoscunt ut fidem Stobaei optimo rei argumento stabiliant. Fragmentum autem illud ex Tzetze modo erutum videmus subinde respexisse iam et pseudo-Hippocratem et pseudo-Heraclitum, longo annorum intervallo eos Graeculo isto priores. Itaque, ne quid deesset, sedulo operam dedi ut, si qua ad Heracliteum expressa exemplar apud scriptores repperi imitationem nostri aut adfectantes aut in eam incidentes, passim ea quoque testimonii causa citarem.

In Appendice fragmentorum primum locum obtinet capitulum Laertianum de vita Heracliti. Quod si adparatu nimio oneravi, non sum inscius, nedum securus, eorum quae de hac re Cobetus in praefatione ad Miscellanea Critica nuper edita verissime monuit. Verum postquam mecum reputaveram Huebnero nullam suppetiisse codicum copiam, carere supellectile critica Cobeti textum, etiam nunc iustam Laertii editionem desiderari, decrevi tandem quae penes me essent omnia expromere: si nihil aliud, habes utique hoc

Logos c. i.: Oldenb. 1872—F. Lassalle, Die Philosophie Herakleitos des Dunklen von Ephesos: Berol. 1858—F. W. A. Mullach, Fragm. Philosophor. Graecor. t. i.: Par. 1860—H. Ritter et L. Preller, Hist. Philosophiae Graeco-Romanae: Hamb. 1838 (ed. quint. Goth. 1875)—F. Schleiermacher, Herakleitos der dunkle, von Ephesos: Opp. Philos. t. ii., et prius in Wolfii et Buttmanni Mus. der Alterthumswiss. t. i.: Berol. 1807—P. Schuster, Heraklit von Ephesus: in Ritschelii Act. soc. phil. Lips. t. iii.: Lips. 1873—G. Teichmüller, Neue Studien zur Gesch. der Begriffe: Goth. 1876—E. Zeller, Die Philosophie der Griechen t. i. p. 566 ed. quart.: Lips. 1877.

[2] Occupavit tamen ex Bachmanni Schol. ad Il. t. i. p. 826 eadem proferre Bergkius: v. Exercitatt. crit. spec. vi. p. 9, quam viri illustrissimi disputationem doleo mihi opere nostro tantum non absoluto primum innotuisse.

tanquam specimen qui sint praecipui Vitarum codices[3]. In reliqua Appendice nonnulla dedi quae rationem Heracliteam illustrant, profecta scilicet ab imitatoribus. Ex primo de Diaeta libro Hippocratea excerpsi quot ad mentem Heracliti accedere propius videbantur, ideoque ad fragmenta confirmanda fortasse etiam, si recte utaris, supplenda adhiberi possunt; nam vestigia Heraclitismi hic latere animadvertit iam priore saeculo I. M. Gesner, ac rem mire a Schleiermachero neglectam iterum nostris temporibus eximia qua pollet elegantia et subtilitate demonstravit Bernaysius. Inesse cerno in ista farragine nonnulla quidem aliunde desumpta[4], de summa tamen re non est quod hodie disceptetur. Excipiunt Hippocratea Scythini versus Lucianique parodia: quippe et Scythinus in altero saltem fragmento apertissime Heraclitissat, et Lucianus ioci causa plura disiecti philosophi membra in unum compegit, ex interprete (opinor) cuncta mutuatus, sed tam faceta re ac salsa quis non aegre inter Heraclitea caruerit? De Epistolis post commentationem Bernaysii disserere supervacuum est: sive sunt unius falsarii opus sive plurium (quod mihi nondum liquet), licet in plerisque auctorem deprehendere primi fere post Christum saeculi sophistam, veteris Testamenti non prorsus ignarum, Stoicae ethices adsertorem, cui aditus fuerit vel ad integrum περὶ φύσεως librum vel ad luculenta Heracliteae doctrinae summaria, qualia multa ea aetate extitisse credimus[5]. Qui plura de universa Epistolarum ratione desiderat, adeat Bernaysii editionem.

De fide fragmentorum duplici modo disputatur: nam sunt quae Heraclito alii vindicant abiudicant eadem prorsus alii; sunt autem plures alioqui certae ac testatae admodum reliquiae de quibus disquirere licet utrum vera orationis forma, an veritatis quasi quaedam imago sed immutata et distorta ad nos pervenerit. Quod ad prius genus controversiae adtinet, gravissima oritur dissensionis causa ex nota confusione nominum: Heraclitus enim interdum apud antiquos memoratur ubi contendere possis aut unum ex

[3] Vellem ex codice Burbonico plura potuisse adferre, cui primarium inter codices Laertii locum tribuit Fr. Nietzsche, Beiträge zur Quellenkunde und Kritik des Laertius Diogenes: Basil. 1870.

[4] In iv. quidem cap. Hippocrateorum et Anaxagorea et Empedoclea quaedam insunt; conf. etiam Parmenid. v. 67 ed. Stein.: locos parallelos enumerare supersedeo quia rem fusius nunc tractatam video a Zellero t. i. p. 635 editionis quartae.

[5] De veteribus Heracliti interpretibus v. Diog. Laert. v. 88, vii. 174, vii. 178, ix. 15. Et interpretum vice fungebantur scriptores cum alii tum in primis Stoici, quos Heraclitea passim citare imitarique solitos esse constat.

recentioribus Ephesii cognominibus esse intellegendum, aut Heraclidem aliudve eiusmodi nomen esse reponendum[6]. Qua de re et per se probabili et diu inter doctos confessa nolo verba facere, et exempla rei quaedam adtuli ad fr. CXXXVIII. : licet tamen paulisper in hoc loco immorari dum ea defendam quae ad fr. CXIX. brevius iusto dixi, scilicet cum Schleiermachero Lassallio Schustero dissentiens de citato apud Eustathium et Schol. Ven. (A) ad Il. xviii. 251 auctore. Etsi non infitias eo potuisse Heraclitum in poetas iniquum iudicem superstitionem exprobrare Homero, res me magis movet ac rei forma ut cum Fabricio (Bibl. Gr. t. i. p. 194 Harl.) et Zellero alium nescio quem existimem a scholiasta indicari. Nam ad Homericum illud de Polydama, Hectoris adeo moribus dissimili, Ἕκτορι δ' ἦεν ἑταῖρος ἰῇ δ' ἐν νυκτὶ γένοντο, hanc nobis interpres Venetus excitat argutiolam :—

πῶς ἐν μιᾷ νυκτὶ γενόμενοι τοσοῦτον ἀλλήλων διαφέρουσι τῆς συμπαθείας τῶν οὐρανίων ὁμοίως πρὸς ἀμφοτέρους ἐχούσης; ἔστιν οὖν διαφορὰ τοῖς γεννωμένοις οὐκ ἐν νυκτὶ μόνον ἀλλὰ καὶ κατὰ τὴν τῆς ὥρας ἀκρίβειαν. Ἡράκλειτος ἐντεῦθεν ἀστρολόγον φησὶ τὸν Ὅμηρον, καὶ ἐν οἷς φησι· μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.

Horum quasi appendicem habes in scholio ad alteros Homeri citatos versus (Il. vi. 488), ubi eadem chorda oberrat interpres:— φαίνεται καὶ τὴν μαθηματικὴν πρῶτος εἰδὼς Ὅμηρος, ἐν οἷς τὴν ἐπὶ γενέσεως ὥραν περιέχειν τὰ ἀποτελέσματα λέγει[7]. Unde satis patet scriptorem a scholiasta excerptum, quisquis fuit, ἀστρολόγον vocem sensu recentiore usurpasse, mathematicas artes novisse, Homerum mathematicum velle laudare—quae omnia a saeculo[8] et indole abhorrent, si quid video, Heracliti nostri. Verum ut est a nostro aliena ista Homeri laudatio ita optime in grammaticum quadrat Cratetis

[6] Rem agnoverunt plurimi, e.g. Hieronymus Mercurialis V. L. iv. 14, Casaubonus ad Diog. Laert. viii. 61, Fabricius Bibl. Graec. t. i. p. 194 n. *g* ed. Harl., Bastius ad Gregor. Corinth. p. 881, E. Deswert de Heraclide Pontico p. 81, I. E. G. Roulez de Vita et scriptis Heraclidae Pontici passim, A. B. Krische Forschungen t. i. p. 327, Bernaysius Heraclit. part. i. p. 27. Unde fit ut et fr. XV. Herodoteum esse crediderint multi (quos inter Wesselingius Diss. Herodot. c. 3, ac C. F. Hermann ad Lucian. Quomodo hist. conscrib. p. 184); et fr. LXX. allegoretae isti Heraclito Mehler (ad Alleg. Homeric. p. ix et p. 101) addixerit: errorem Mehleri satis me iudice Ionismus in ξυνόν servatus refellit.

[7] Conf. Schol. Ven. (A) ad Il. i. 606: πρῶτος δὲ Ὅμηρος ἀφορμὴν ἔδωκε τοῖς ἀπὸ τῶν μαθημάτων εἰρηκὼς ἕκαστον τῶν θεῶν ἴδιον οἶκον ἔχειν.

[8] Vid. Lobeck Aglaopham. p. 420.

Mallotae vel aemulum vel ex schola profectum: etenim eo usque processit Crateteorum acumen ut tandem sub virga interpretis musicus astronomus astrologus, omnium fere artium magister, poeta exierit. Sed praestat ea audire quae ad Il. xxiii. 79 (ἀλλ' ἐμὲ μὲν κὴρ ἀμφέχανε στυγερή, ἥ περ λάχε γιγνόμενόν περ) ex Zenodoto Mallota scholiasta noster adtulit:—ὅθεν μία τῶν Μοιρῶν Λάχεσις. παρείληφε δὲ ὅτι τῇ γενέσει συνδιατάσσεται καὶ ὁ τῆς τελευτῆς καιρός. ὅθεν Ζηνόδοτος ὁ Κρατήτειος Χαλδαῖον τὸν Ὅμηρόν φησιν. Quibuscum confer ista (si dis placet) Heraclitea, vides profecto esse locos inter se pares, ea necessitudine coniunctos quae si non eundem auctorem at certe eandem et aetatem et disciplinam arguat: unde concludo etiam in scholio ad Il. xviii. 251 recentioris aevi ineptias interpretem venditare, nec philosophum cerno sed grammaticum aequalem et paene gemellum Zenodoti. Ac nisi forte malis hic allegoretam Heraclitum dispicere, quo Zelleri opinio inclinare videtur (Phil. Gr. i. p. 665 ed. quart.), poteris fortasse mecum ex turba grammaticorum Heraclidem revocare eum sive Alexandrinum seu Milesium qui, ut testatur Eustathius (p. 705, 60), Apioni glossographo in manibus fuit; Apioni autem cuncta haec de Homero astronomo astrologo Chaldaeo apud seriores servata referre velim—rectene an secus penes peritiores arbitrium[9]. Itaque nomen ut in medio relinquo sic grammatici esse adsevero. Sed ab Homero revertamur ad nostra: nam alterum habemus, ut superius dixi, disceptationis genus, quod est de reliquiarum forma. De forma Heracliteorum disceptare licet (1) si discrepant inter se rei auctores, (2) si in ipsa re Ionismum requiras, si stilum ipsius ac colorem desideres, si sententiam enervatam vix agnoscas; quae sunt incertae ac parum fidae rerum traditionis comperta indicia. Et quoniam vitia huiusmodi non raro in Heracliteis occurrunt, libet altius perquirere et causam mali atque originem ex historia rei monstrare. Deformata igitur tradunt fragmenta etiam optimae aetatis scriptores, quorum moris fere fuit si quid citabant circumcidere interpolare immutare suoque usui accommodare; qui liberior citandi mos apud Aristotelem aliosque passim cernitur, incuriosos subtiliorum sensum modo rei

[9] Ex Apione hausta suspicor ea quae de Homero astronomo narrat Achilles Tatius Isag. p. 124 B Petav. (=Wachsmuth de Cratete Mallota p. 40):— ἐκ γὰρ τούτων [h. e. ex versibus quibusdam Homeri stellarum mentionem facientis] τὰς προφάσεις ἔλαβον οἱ ὕστερον περὶ τούτων πραγματευσάμενοι. ὡς γὰρ τοῖς τραγικοῖς παρέσχεν ἱστοριῶν ἀφορμάς, οὕτω καὶ διὰ τούτων ὑποθέσεις τοῖς περὶ ἀστρολογίας γράψασι. μαρτυροῦσι δὲ Κράτης καὶ Ἀπίων ὁ Πλειστονίκης ὅτι ἀστρονόμος Ὅμηρος.

citatae adtendentes. Apud inferiores autem accedit nova depravationis causa: non ex ipso fonte sed ex rivulis ferme Heraclitea desumunt. Percurre mecum testimonia, adparet a primis inde saeculis oculatos rerum testes esse paucos, ex interpretibus plerosque pendere, citata mutuari, non pro se sua quemque invenisse. Velut ipse Cicero fragmentum illud de Hermodoro exsule indidem arcessit ac post eum Musonius, fortasse ex deperdita nescio cuius de exsilio commentatione. Etiam Philoni minus notum fuisse librum iudico, qui saepius orationem usu corruptam adhibeat Stoicoque contextu implicet, ac pleraque pervulgata et cuivis obvia referat; quae sunt mihi citantis ex interprete documenta. Antoninum patet Stoicos suos sequi. Lucianus, dum in parodiam Heracliteorum Stoicam *ἐκπύρωσιν* inducit, unde sua petierit fatetur[10]. Laertium in hac una particula operis libro pervetusto usum esse nemo iam adfirmaverit. Apud Sextum ita accrevit Heracliteis interpretatio ut errorem ne ipse quidem effugisse videatur. Origenes sua disertissime Celso accepta refert. Quaedam a Plotino Iamblichus, a Plutarcho Iulianus, multa a Plutarcho ac Clemente Eusebius et Theodoretus transtulerunt. Scholiastae Homeri magnam certe partem habent ex collectionibus illis quaestionum et solutionum Homericarum quas Aristoteleo more conscriptas grammatici Alexandrini reliquerant[11]. De aliis opinio difficilior; nisi forte ita ex notis ignota decernere velis ut ubique iam tertio saeculo scriptores ex interprete pendere coniectes, in tanta praesertim penuria librorum vetustorum quam agnoscit Porphyrius homo ea aetate litteratissimus et perquam studiosus antiquitatis[12]. Quid igitur, perieratne iam liber? Nondum perierat, credo, sed sive neglectus sive ignoratus latebat paene omnes. Unum alterumve cum excipio, Hippolytum si quem alium exceptum velim, quippe qui tot tam eximia fragmenta tanta fide conservaverit: de

[10] Heracliteum *κόρον* alii per *κάθαρσιν* (conf. Plat. Crat. 396 B et Stallb. ad loc.) alii per *ἐκπύρωσιν* interpretabantur: exempla habes utriusque rei in testimoniis ad fr. XXIV. et CXVIII.; quibuscum confer Hippolyt. Ref. haer. i. c. 21:—*προσδέχονται δὲ* (scil. Stoici) *ἐκπύρωσιν ἔσεσθαι καὶ κάθαρσιν τοῦ κόσμου τούτου, οἱ μὲν παντός, οἱ δὲ μέρους. καὶ κατὰ μέρος δὲ αὐτὸν καθαίρεσθαι λέγουσιν, καὶ σχεδὸν τὴν φθορὰν καὶ τὴν ἑτέρου ἐξ αὐτῆς γένεσιν κάθαρσιν ὀνομάζουσιν.* Ionismis autem Lucianus passim utitur non vere Heracliteis sed a se parodiae causa refictis.

[11] Vid. Lehrs de Aristarchi studiis Homericis, p. 199 ed. alt., Rose Aristot. pseudepigraph. p. 149, Cobet Miscell. Crit. p. 225.

[12] Porphyrius ap. Euseb. P. E. x. 3, p. 468:—*σπάνια δὲ τὰ τῶν πρὸ τοῦ Πλάτωνος γεγονότων βιβλία.*

Clemente autem ac Plotino saltem nihil negaverim, etsi videor mihi videre nonnulla etiam hos ab aliis desumpsisse. Ut ut est—et in re incomperta non est temere nec de omnibus negandum—illud tantum monstro statuoque, apud seriores, sicubi res altius investigari potest, crebra indicia cerni interpretum, ab aliis accepta tradi fragmenta, nec sua sibi quemque in libro archetypo invenisse. Quae cum ita sint, non esse fragmentis omnibus eandem fidem et ratio rei docet et res ipsa declarat. Ut habeat magna pars reliquiarum omnes veritatis numeros, sunt tamen non pauca quae deformata ac fortasse omnino novata hodie leguntur; quae sollicitare reficere Ionismis praelinere ad severiorem regulam exigere vanus labor est et otiosus. Quod admonui partim Heracliti causa partim mea; nam quaedam dedi quae nolo credere a nostro ita esse profecta, intacta autem quaedam reliqui quae alii parum felici arte temptaverunt quasi ipsam Heracliti manum restituturi.

Quod ad dialectum fragmentorum adtinet, non suppeditant quibus freti de universa Heracliti locutione pronuntiemus: veterrimae enim *Ἰάδος* leges et varietates nondum perspectae nobis et exploratae sunt, Ephesiaca dialectus quas proprietates habuerit nescitur, ne de Herodotea quidem loquendi ratione satis constat inter eos qui Herodoto operam dederunt. Accedit quod auctores nostri sua scribarumve incuria saepissime ita Heraclitea tradiderunt ut dialecti vestigia obscurata modo lateant interdum prorsus deleta perierint. Quae praefati dialectum Heracliteam, quoad ea ex fragmentis recolligi potest, breviter perstringamus et quae in locutione maxime notabilia videantur in uno conspectu collata recenseamus. Obelos praefixi vocabulorum formis quae in coniectura tantum mea alienave nituntur; si in quo quidque fragmento inveniatur requiras, vide sis verborum Indicem ad calcem huius libelli.

I. De hiatu: sumo, sed res demonstrari nequit, N *ἐφελκυστικὸν* apud Heraclitum semper defuisse. Vocalis in fine praepositionum *ἐπί, κατά, μετά, παρά* ubicumque elidi poterat elisa est; ac, si fides libris, scripsit Heraclitus etiam *ἐφ' ἡμέρῃ, καθ' ἡδονήν κτέ.* (semel vero *ὑπὸ ἑνός*). In ipso vocabulorum corpore solutior syllabarum forma nonnunquam servatur, e.g. *ἀΐδης, ἀρηιφάτους, βασιληίη, ὀνήιστος,* †*χρηίζῃ, νόος, φάος* (sed *καθ' ᾅδην, ᾆσμα, διᾳ̂δον, συνᾳ̂δον, ἀνθρώπειος, μαντεῖον*).

II. In re orthographica haec quae sequuntur *Ἰάδος* exempla notamus:—

κ = *π* : *ὅκη, ὁκοῖον, ὁκόσον, ὅκως κτέ.* (sed, si lectio sana, *ποτέ, πῶς*).

ν = *γν* : *γίνεσθαι, γινώσκειν.*

ξ = σ : ξὺν νόῳ, ξυνίασι, ἀξύνετος (sed συνάγει, συνάψειας κτέ.).

σσ = ττ : θάλασσα, ὀρύσσουσι, † πεσσεύων, πλάσσειν.

τ = θ : αὖτις.

αι = α : αἰεί (sed ἀείζωον, ἀέναον).

ε = ει : ἐς, κρέσσον ?, μέζονες, † πλέων (sed ἔδειξε).

ει = ε : πείρατα (sed πέρας ?—πεῖρας habet Parmenid. 105 St.).

η = ᾱ : ἀγχιβασίη, ἀμαθίη κτέ. (sed οἰακίζει).

η = ε : ἠοῦς.

ου = ο : μοῦνος, νοῦσος, οὖλα, οὖρος, οὔνομα (sed ὀνομάζεται: eadem inconstantia in νοῦσος et νοσέω apud Herodotum teste Bredovio de dial. Herod. p. 163).

III. In declinatione nominum :—

1. Τευτάμεω (a recto Τευτάμης: errasse credo Papium s. v. Τευτάμεως)—ψυχῇσι, ὑγρῇσι.
2. ἀπείροισι, ποταμοῖσι κτέ. (si fides libris, Δελφοῖς, Ἐφεσίοις, τοῖς ἀνήβοις).
3. Ξενοφάνεα—ἄκεα, ἀληθέα, κτήνεα—ἐπέων, † ἐτέων.

IV. In pronominibus :—

1. † ἐμεῦ, ἡμέων.
2. μιν=αὐτόν.
3. ἐμεωυτόν—ἑωυτοῦ, ἑωυτῷ, ἑωυτῶν, ἑωυτοῖσι.
4. ὅτεῳ, ἅσσα.
5. τουτέοισι (pari ratione etiam τοιουτέων: quas formas damnant Bredovius aliique).
6. ὡυτός, ὡυτή, ταὐτόν (ταὐτόν in fragmento minus fideliter servato: ὡυτή damnat Bredovius).

V. In coniugatione verborum :—

1. † ἔλπηαι—ἐξευρήσει (fut. med.: de hac re v. Cobet. V. L. p. 39).
2. Contract. in -άω :—(1) προτιμέω—ζῇ—ὁρέομεν—τιμῶσι—ζῶντες—(2) † κυβερνᾶται—ὀσμῶνται, χρέωνται—πειρώμενοι, χρεώμενοι.
3. Contract. in -έω :—(1) praes.: ὁμολογέει, † ἐξαρκέει κτέ.—δοκέουσι, φρονέουσι, † ἐγκυρέουσι κτέ.—† ὁμολογέειν, † φρονέειν (μοχθεῖν nolo adtingere)—διαιρέων, δοκεόντων—imperf.: ὕμνεον—(2) praes.: διηγεῦμαι—διαχέεται, μετρέεται, ὠνέεται, † ἀφικνέεται κτέ.—αἱρεῦνται, μυεῦνται—† κινεόμενος—imperf. † ἐποιεῦντο.
4. Contract. in -όω :—ἀλλοιοῦται.
5. Verb. in -μι :—εἶμεν—ἐόν, ἐόντος, ἐόντα, παρεόντας—σβεννύειν.

VI. In vocabulorum copia :—

ἀγχιβασίην, ἀέναος, ἀντία, ἀντίον, ἀντίξουν, ἀοιδοῖς, ἄποτος (sensu passivo), ἀρηιφάτους, βιός, γνώμας, δαίμων (=δαήμων: v. Bergk. Exercitt. crit. spec. vi. p. 10), ἔδειξε (fort.=ἀνέδειξε), δίζημαι, δοκιμώτατος, δόμοι, ἐγκυρέουσι, ἔλπονται, ἐφ' ἡμέρῃ, ἐπίστανται (=νομίζουσι), εὐφρόνη, ζώειν, ἡβηδόν, ἡδονή (sensu Anaxagoreo positum), θέρεται, ἵστορας, ἱστορίην, καρφαλέον, κεκόρηνται, λεσχηνεύοιτο, μόρος, νέκυες, ξυνός, ὅμιλος, ὀνήιστος, πρηστήρ (sensu antiq.), σκίδνησι, τέρματα, φάτις, χρηίζῃ, χρησμοσύνη.

Insunt praeterea in fragmentis locutiones quas, ut in scriptore tam antiquo, enotare liceat: potissimas harum subicio:—ἀκαλλώπιστα, ἀκριβέστεροι (in fr. suspecto), ἀλλοιοῦται, ἀμύριστα, ἀνεξερεύνητον, ἀνιερωστί, ἀποσβεννύμενον, ᾆσμα, διᾳδον, διαιρέων, διαφυγγάνει, διηγεῦμαι, † ἐγερτί, ἐκβλητότεροι, ἐπιπορευόμενος, ἰσχυρίζεσθαι, κακοτεχνίην, κόσμος, λῆναι, ληναΐζουσι, λόγος, μάγοι, μυεῦνται, μύστης, μυστήρια, νόμος, νυκτιπόλοι, ὁμολογέειν, ὀσμῶνται, πεσσεύων, πολυμαθίη, συγγραφάς, συνᾳδον, φιλοσόφους, φύσις, κατὰ φύσιν, φρόνησιν. Quibus fortasse sunt etiam alia addenda si Indicem verborum adtente perspexeris.

Superest ut eximium illud quod huic libello accessit ornamentum demonstrem. Nam Iacobus Bernaysius, cuius pluriens iam in hac praefatione mentionem feci, pro ea qua est semper erga me humanitate inceptam hanc operam hortatu et consilio est prosecutus, absolutam autem et re adiuvit: ut vidit enim apud nos nonnulla deesse aut iniuria abesse, de his me admonuit, desiderata indicavit, accommodare nostro operi et suo quidque in loco inserere permisit. Quod δῶρον ἐκ Μουσῶν quo manifestius adpareat, additamenta ea nomine ipsius adscripto ubique apud nos insignita invenies.

Denique antequam ad coronidem veniam iuvat honoris causa nominare eum qui plagulas perlegendas duram provinciam amicissime suscepit, Falconer Madan, Coll. Aen. Nas. socium; cui gratias habeo agoque ut par est maximas.

Scribebam Oxonii
m. Ianuario 1877.

CORRIGENDA.

Pag. 14 testim. v. 6 lege Ἡράκλειτος·
— 21 fr. LIII. v. 5 scrib. caeno
— 33 testim. v. 3 scrib. *ζῆν*
— 44 testim. v. 4 scrib. litteris Italicis *Bernays*.
— 56 adn. crit. v. 10 lege *αὐτὸν* codices
— 59 adn. crit. v. 2 lege (*κόσμοῦ* A sic puncto superscripto)
— 62 text. v. 14 lege *καὶ μειοῦται ἐς*
— 69 text. v. 13-14 scrib. *ὠνήσεταί σέ τις*
— 71 text. v. 28 scrib. *ζῴοις*
— 73 text. v. 32 scrib. *ἰατρός*
— 74 text. v. 17 lege *ἐγνώκασι*·
— 85 v. 11 dele Stobaeus (nomen male iteratum)

ΗΡΑΚΛΕΙΤΟΥ ΕΦΕΣΙΟΥ

ΠΕΡΙ ΦΥΣΕΩΣ

ΗΡΑΚΛΕΙΤΟΥ ΕΦΕΣΙΟΥ

ΠΕΡΙ ΦΥΣΕΩΣ.

I.

Οὐκ ἐμεῦ ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογέειν σοφόν ἐστι, ἓν πάντα εἶναι.

II.

Τοῦ δὲ λόγου τοῦδ' ἐόντος αἰεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον. γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἀπείροισι ἐοίκασι πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιουτέων ὁκοίων ἐγὼ διηγεῦμαι, διαιρέων ἕκαστον κατὰ φύσιν καὶ φράζων ὅκως ἔχει.

TESTIMONIA.

I. Hippolytus Ref. haer. ix. 9: Ἡράκλειτος μὲν οὖν <ἕν> φησιν εἶναι τὸ πᾶν, διαιρετὸν ἀδιαίρετον, γενητὸν ἀγένητον, θνητὸν ἀθάνατον, λόγον αἰῶνα, πατέρα υἱόν, θεὸν δίκαιον. Οὐκ ἐμοῦ ἀλλὰ τοῦ δόγματος ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν, ἓν πάντα εἰδέναι, ὁ Ἡράκλειτός φησι· καὶ ὅτι τοῦτο οὐκ ἴσασι πάντες οὐδὲ ὁμολογοῦσιν, ἐπιμέμφεται ὧδέ πως· Οὐ ξυνίασιν ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει· παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρης (=fr. XLV)—Respic. Philo Leg. alleg. iii. 3, p. 88: ὁ δὲ γονορρυής, ἐκ κόσμου πάντα καὶ εἰς κόσμον ἀνάγων, ὑπὸ θεοῦ δὲ μηδὲν οἰόμενος γεγονέναι, Ἡρακλειτείου δόξης ἑταῖρος, κόρον καὶ χρησμοσύνην καὶ ἓν τὸ πᾶν καὶ πάντα ἀμοιβῇ εἰσάγων.

II. Aristoteles Rhet. iii. 5, p. 1407, *b* 14: τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ

ADNOTATIO CRITICA.

I. ἐμοῦ vulg. corr. Mullach || λόγου Bernays: δόγματος cod., Bergk || ὁμολογεῖν vulg. corr. Bernays || ἐν cod. corr. Miller || εἶναι Miller: εἰδέναι cod., Bernays, Bergk: γίνεσθαι Mullach || orationem ita redintegrandam arbitratur Bergkius: Δίκαιον οὐκ ἐμοῦ ἀλλὰ τοῦ δόγματος ἀκούσαντας ὁμολογέειν ὅτι ἓν τὸ σοφόν ἐστιν, ἓν πάντα εἰδέναι.

II. τοῦ δέοντος Aristotelis Clementis Hippolyti Eusebii codices; v. Spengel ad Rhet. l. l. || ἀξύνετοι] ξετοὶ cod. Hippolyti || ἀπείροισι Bernays: ἄπειροι εἰσὶν Hippolyti cod. || πειρεώμενοι Cruice || διερέων Hippolyti cod. || ποιοῦσιν codd. Sexti corr. Mullach.

τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιέουσι, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται.

III.

Ἀξύνετοι ἀκούσαντες κωφοῖσι ἐοίκασι· φάτις αὐτοῖσι μαρτυρέει παρεόντας ἀπεῖναι.

πρότερον, οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος. φησὶ γάρ· Τοῦ λόγου τοῦ δέοντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίνονται· ἄδηλον γὰρ τὸ ἀεί [αἰεί cod. Par. 1741] πρὸς ποτέρῳ δεῖ στίξαι [vulg. διαστίξαι corr. Bekker]—Sextus Empir. adv. Math. vii. 132: ἐναρχόμενος γοῦν τῶν περὶ φύσεως ὁ προειρημένος ἀνήρ, καὶ τρόπον τινὰ δεικνὺς τὸ περιέχον, φησί· Λόγου τοῦδε ἐόντος ἀξύνετοι γίγνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον. γινομένων γὰρ κατὰ τὸν λόγον τόνδε ἄπειροι ἐοίκασι πειρώμενοι ἐπέων καὶ ἔργων τοιούτων ὁκοίων ἐγὼ διηγεῦμαι, κατὰ φύσιν διαιρέων ἕκαστον καὶ φράζων ὅκως ἔχει. τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται—Clemens Alex. Strom. v. 14, p. 716 (=Euseb. P. E. xiii. 13, p. 680): ἄντικρυς δὲ ὁ μὲν Ἡράκλειτος, Τοῦ λόγου τοῦ δέοντος ἀεί [αἰεί Euseb.], φησίν, ἀξύνετοι γίγνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον—Hippolytus Ref. haer. ix. 9: ὅτι δὲ λόγος ἐστὶν ἀεὶ τὸ πᾶν καὶ διὰ παντὸς ὤν, οὕτως λέγει· Τοῦ δὲ λόγου τοῦ δέοντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον. γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἄπειροι εἰσὶν ἐοίκασι πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιουτέων ὁποῖα ἐγὼ διηγεῦμαι, διαιρέων κατὰ φύσιν καὶ φράζων ὅκως ἔχει—Amelius ap. Euseb. P. E. xi. 19, p. 540 (=Cyrill. c. Iul. viii, 283 D; Theodoret. Therap. ii. p. 33): καὶ οὗτος ἄρα ἦν ὁ λόγος καθ' ὃν αἰεὶ ὄντα τὰ γινόμενα ἐγίνετο, ὡς ἂν καὶ ὁ Ἡράκλειτος ἀξιώσειε—Respic. Philo Quis rer. div. haer. 43, p. 505: ἓν γὰρ τὸ ἐξ ἀμφοῖν τῶν ἐναντίων, οὗ τμηθέντος γνώριμα τὰ ἐναντία. οὐ τοῦτ' ἔστιν, ὅ φασιν Ἕλληνες τὸν μέγαν καὶ ἀοίδιμον παρ' αὐτοῖς Ἡράκλειτον κεφάλαιον τῆς αὐτοῦ προστησάμενον φιλοσοφίας αὐχεῖν ὡς ἐφ' εὑρέσει καινῇ; —Ioannes Sicel. in Walz. Rhett. Gr. vi. p. 95: διὸ καὶ Ἡράκλειτος ὁ φυσικὸς τὸ διατί θηρῶν ἀνατέμνει κατὰ μέλος τὸ ζῶον ἐρωτώμενος· ἐπεὶ ἔχω τὸν διδάσκοντά με τὴν φύσιν τῶν ὄντων, ἀπεκρίνατο (narratiunculam e nostro fragmento ortam puto).

III. Clemens Alex. Strom. v. 14, p. 718 (=Euseb. P. E. xiii. 13, p. 681): κἂν τὸ ῥητὸν ἐκεῖνο ἀναγαγεῖν ἐθέλῃς ' ὁ ἔχων ὦτα ἀκούειν

III. κωφοῖσιν codd. Eusebii || ἀπιέναι cod. Clementis.

IV.

Κακοὶ μάρτυρες ἀνθρώποισι ὀφθαλμοὶ καὶ ὦτα, βαρβάρους ψυχὰς ἐχόντων.

V.

Οὐ φρονέουσι τοιαῦτα πολλοὶ ὁκόσοισι ἐγκυρέουσι οὐδὲ μαθόντες γινώσκουσι, ἑωυτοῖσι δὲ δοκέουσι.

VI.

Ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐδ' εἰπεῖν.

ἀκουέτω,' εὕροις ἂν ὧδέ πως ἐμφαινόμενον πρὸς τοῦ Ἐφεσίου· Ἀξύνετοι ἀκούσαντες κωφοῖς ἐοίκασι· φάτις αὐτοῖσιν μαρτυρεῖ παρεόντας ἀπεῖναι—Theodoretus Therap. i. p. 13, 49: ἁρμόττει τοῖς ὁμοίως ὑμῖν ἀντιλέγουσιν ἅπερ Ἡράκλειτος ὁ Ἐφέσιος εἴρηκεν· Ἀξύνετοι ἀκούσαντες κωφοῖς ἐοίκασι· φάτις αὐτοῖσι μαρτυρεῖ παρεόντας ἀπεῖναι.

IV. Sextus Emp. adv. Math. vii. 126: τὴν μὲν αἴσθησιν ἐλέγχει λέγων κατὰ λέξιν· Κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα, βαρβάρους ψυχὰς ἐχόντων· ὅπερ ἴσον ἦν τῷ, βαρβάρων ἐστὶ ψυχῶν ταῖς ἀλόγοις αἰσθήσεσι πιστεύειν—Stobaeus Floril. iv. 56: κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώπων ψυχὰς βαρβάρους ἐχόντων—Conf. Floril. Monac. ap. Woelfflin. de Caecilio Balbo p. 20: oculos et aures vulgi malos esse testes—Respic. Diogenes Laert. ix. 7: τήν τε οἴησιν ἱερὰν νόσον ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι.

V. M. Antoninus iv. 46 (post fr. XXV): μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ᾗ ἡ ὁδὸς ἄγει (fort.=fr. LXXIII)· καὶ ὅτι ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι, λόγῳ τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται (=fr. XCIII)· καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται· καὶ ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν (=fr. XCIV)· καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν· καὶ ὅτι οὐ δεῖ ὡς παῖδας τοκέων, τοῦτ' ἔστι, κατὰ ψιλὸν καὶ καθότι παρειλήφαμεν (fort.=fr. XCVII: in clausula textum Corais exhibui)—Clemens Alex. Strom. ii. 2, p. 432: οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοὶ ὁκόσοι ἐγκυρσεύουσιν οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι, κατὰ τὸν γενναῖον Ἡράκλειτον. ἆρ' οὐ δοκεῖ σοι καὶ οὗτος τοὺς μὴ πιστεύοντας ψέγειν;

VI. Clemens Alex. Strom. ii. 5, p. 442: ἀπίστους εἶναί τινας ἐπιστύφων Ἡράκλειτός φησιν· Ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐδ' εἰπεῖν· ὠφεληθεὶς

IV. βορβόρου ψυχὰς ἔχοντος Bernays M. Rh. ix. p. 262.
V. ὁκόσοις Gataker: ὁκόσοι vulg.: < τούτων > ὁκόσοι < ἐκείνοισι > Mullach || ἐγκυρσεύουσιν vulg.: ἐγκυρέουσι occupavit Schuster.

VII.

Ἐὰν μὴ ἔλπηαι, ἀνέλπιστον οὐκ ἐξευρήσει, ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον.

VIII.

Χρυσὸν οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσι ὀλίγον.

IX.

Ἀγχιβασίην.

X.

Φύσις κρύπτεσθαι φιλεῖ.

δήπουθεν παρὰ Σολομῶντος· ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ, καὶ ἐὰν κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ.

VII. Clemens Alex. Strom. ii. 4, p. 437 : ἀληθὲς δ' οὖν ὂν παντὸς μᾶλλον ἀποδείκνυται τὸ ὑπὸ τοῦ προφήτου εἰρημένον· ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. τοῦτο καὶ Ἡράκλειτος ὁ Ἐφέσιος τὸ λόγιον παραφράσας εἴρηκεν· Ἐὰν μὴ ἔλπηται, ἀνέλπιστον οὐκ ἐξευρήσει, ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον—Theodoretus Therap. i. p. 15, 51 : καὶ ὁ Ἡράκλειτος δὲ πάλιν παρεγγυᾷ ξεναγεῖσθαι ὑπὸ τῆς πίστεως οὕτω λέγων· Ἐὰν μὴ ἐλπίζητε, ἀνέλπιστον οὐχ εὑρήσετε, ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον. καὶ πάλιν· Χρυσὸν οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον (=fr. VIII).

VIII. Clemens Alex. Strom. iv. 2, p. 565 : χρυσὸν γὰρ οἱ διζήμενοι, φησὶν Ἡράκλειτος, γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον· οἱ δὲ τοῦ χρυσοῦ ὄντως γένους τὸ συγγενὲς μεταλλεύοντες εὑρήσουσι τὸ πολὺ ἐν ὀλίγῳ—Theodoretus Therap. i. p. 15, 52 (ad fr. VII cit.)

IX. Suidas s. v. ἀμφισβατεῖν : Ἀμφισβατεῖν. ἔνιοι τὸ ἀμφισβητεῖν. Ἴωνες δὲ καὶ ἀγχιβατεῖν, καὶ ἀγχιβασίην Ἡράκλειτος—Idem s. v. ἀγχιβατεῖν : Ἀγχιβατεῖν Ἴωνες τὸ ἀμφισβητεῖν, καὶ ἀγχισβασίην Ἡράκλειτος (v. Gaisford ad loc.).

X. Philo Qu. in Gen. iv. 1, p. 237 Aucher. : arbor est secundum Heraclitum natura nostra, quae se obducere atque abscondere amat—Themistius Or. v. p. 69 (=xii. p. 159) : φύσις δὲ καθ' Ἡράκλειτον κρύπτεσθαι φιλεῖ καὶ πρὸ τῆς φύσεως ὁ τῆς φύσεως δημιουργός, ὃν διὰ

VII. ἔλπησθε Stephanus : ἔλπηαι ego et Schuster || ἐξευρήσετε Stephanus : ἐξευρήσεαι vel ἐξευρήσεις susp. Schuster || ἀνεξεύρετον Theodoreti cod. B, Mullach.

XI.

Ὁ ἄναξ οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει οὔτε κρύπτει, ἀλλὰ σημαίνει.

XII.

Σίβυλλα δὲ μαινομένῳ στόματι ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη χιλίων ἐτέων ἐξικνέεται τῇ φωνῇ διὰ τὸν θεόν.

τοῦτο μάλιστα σεβόμεθα καὶ τεθήπαμεν, ὅτι μὴ πρόχειρος ἡ γνῶσις αὐτοῦ—Respic. Philo de Profug. 32, p. 573 ; de Somn. i. 2, p. 621 ; de Spec. legg. 8, p. 344—Iulianus Or. vii. p. 216 C.

XI. Plutarchus de Pyth. orac. 21, p. 404 : οἶμαι δέ σε γιγνώσκειν τὸ παρ' Ἡρακλείτῳ λεγόμενον, ὡς ὁ ἄναξ οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει—Iamblichus de Myst. iii. 15 : συμβολικῶς δὲ τὴν γνώμην τοῦ θεοῦ ἐμφαίνουσι καὶ τὴν τοῦ μέλλοντος προδήλωσιν, καθ' Ἡράκλειτον, οὔτε λέγοντες οὔτε κρύπτοντες ἀλλὰ σημαίνοντες—Idem ap. Stob. Floril. lxxxi. 17 : αὐτὸς ὁ ἐν Δελφοῖς θεός, οὔτε λέγων, καθ' Ἡράκλειτον, οὔτε κρύπτων ἀλλὰ σημαίνων τὰς μαντείας, ἐγείρει πρὸς διαλεκτικὴν διερεύνησιν τοὺς ἐπηκόους τῶν χρησμῶν—Anonymus ap. Stob. Floril. v. 72 : ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει, κατὰ τὸν Ἡράκλειτον, οὕτω τῶν Πυθαγορικῶν συμβόλων καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι καὶ τὸ κρύπτεσθαι νοούμενον—Respic. Lucianus Vit. auct. 14 : ἀτεχνῶς γὰρ ὥσπερ ὁ Λοξίας οὐδὲν ἀποσαφεῖς.

XII. Plutarchus de Pyth. orac. 6, p. 397 : Σίβυλλα δὲ μαινομένῳ στόματι, καθ' Ἡράκλειτον, ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν. ὁ δὲ Πίνδαρος ἀκοῦσαί φησι τοῦ θεοῦ τὸν Κάδμον οὐ μουσικὰν ὀρθάν, οὐχ ἡδεῖαν οὐδὲ τρυφερὰν οὐδὲ ἐπικεκλασμένην τοῖς μέλεσιν—Clemens Alex. Strom. i. 15, p. 358 : Ἡράκλειτος γὰρ οὐκ ἀνθρωπίνως φησὶν ἀλλὰ σὺν θεῷ μᾶλλον Σιβύλλῃ πεφάνθαι—Respic. pseudo-Heraclitus Epist. viii : εἶδέ σε πρὸ τοσούτου αἰῶνος . . . . ἡ Σίβυλλα κτέ.—Iamblichus de Myst. iii. 8 : λόγους μὲν προϊεμένη (*scil.* ἡ ἀπὸ τῶν θεῶν παροῦσα ἐπικράτεια), οὐ μετὰ διανοίας δὲ τῶν λεγόντων, ἀλλὰ μαινομένῳ φασὶ στόματι φθεγγομένων αὐτοὺς καὶ ὑπηρετούντων ὅλων καὶ παραχωρούντων μόνῃ τῇ τοῦ κρατοῦντος ἐνεργείᾳ—fort. Chalcidius in Tim. 249 : asserit (*scil.* Heraclitus) divinationis usum, et praemoneri meritos instruentibus divinis potestatibus.

XI. ὦναξ Stephanus. XII. ἐτῶν ἐξικνεῖται vulg.

XIII.

Ὅσων ὄψις ἀκοὴ μάθησις, ταῦτα ἐγὼ προτιμέω;

XIV.

Polybius iv. 40: τοῦτο γὰρ ἴδιόν ἐστι τῶν νῦν καιρῶν, ἐν οἷς πάντων πλωτῶν καὶ πορευτῶν γεγονότων οὐκ ἂν ἔτι πρέπον εἴη ποιηταῖς καὶ μυθογράφοις χρῆσθαι μάρτυσι περὶ τῶν ἀγνοουμένων, ὅπερ οἱ πρὸ ἡμῶν περὶ τῶν πλείστων, ἀπίστους ἀμφισβητουμένων παρεχόμενοι βεβαιωτὰς κατὰ τὸν Ἡράκλειτον.

XV.

Ὀφθαλμοὶ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες.

XVI.

Πολυμαθίη νόον ἔχειν οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον.

XIII. Hippolytus Ref. haer. ix. 9 (ad fr. XLVII cit.).

XV. Polybius xii. 27: δυεῖν γὰρ ὄντων κατὰ φύσιν ὡσανεί τινων ὀργάνων ἡμῖν, οἷς πάντα πυνθανόμεθα καὶ πολυπραγμονοῦμεν, ἀκοῆς καὶ ὁράσεως, ἀληθινωτέρας δ᾽ οὔσης οὐ μικρῷ τῆς ὁράσεως κατὰ τὸν Ἡράκλειτον (ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες), τούτων Τίμαιος τὴν ἡδίω μὲν ἥττω δὲ τῶν ὁδῶν ὥρμησε πρὸς τὸ πολυπραγμονεῖν—Conf. Herodotus i. 8: ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν. (Heraclito dictum abiudicant cum alii tum Leutschius ad Paroem. Graec. ii. p. 744, L. Dindorfius praef. ad Polyb. p. xl.)

XVI. Aulus Gellius N. A. praef. 12: ego vero, cum illud Ephesii viri summe nobilis verbum cordi haberem, quod profecto ita est: πολυμαθίη νόον οὐ διδάσκει, ipse quidem volvendis transeundisque multis admodum voluminibus .... exercitus defessusque sum—Diogenes Laert. ix. 1: μεγαλόφρων δὲ γέγονε παρ᾽ ὁντινοῦν καὶ ὑπερόπτης, ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησι· Πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην (conf. Schol.

XIII. ὅσον cod. corr. Miller.

XVI. πουλυμαθηίη Cobet: πολυμαθῆ Clementis cod.: πολυμαθῆ et πουλυμαθῆ Athenaei codd.: πολυμαθείη Diogenis ed. Basil., Procli ed. Basil.; conf. Bredov. de dial. Herodot. p. 186 (plura v. in Append. I).

XVII.

Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησε ἀνθρώπων μάλιστα πάντων. καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποίησε ἑωυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην.

XVIII.

Ὁκόσων λόγους ἤκουσα οὐδεὶς ἀφικνέεται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον.

---

ad Plat. Theaet. 179 E), αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον. εἶναι γὰρ ἓν τὸ σοφόν κτέ—Clemens Alex. Strom. i. 19, p. 373: ᾔδει γάρ, οἶμαι, ὡς ἄρα ἤδη πολυμαθῆ νόον ἔχει ὁ [sic cod.] διδάσκει καθ᾽ Ἡράκλειτον—Athenaeus xiii. p. 610 B: πουλυμαθημοσύνης τῆς οὐ κενεώτερον οὐδέν, Ἵππων ἔφη ὁ ἄθεος· ἀλλὰ καὶ Ἡράκλειτος ὁ θεῖός φησι· Πουλυμαθίη νόον ἔχειν οὐ διδάσκει—Iulianus Or. vi. p. 187 D: πολυμαθία γάρ, φασί, νόον οὐ διδάσκει—Proclus in Tim. 31 F: τί γὰρ θαυμαστὸν ἡ τῶν γεγονότων γνῶσις; πολυμαθίη νόον οὐ φύει, φησὶν ὁ γενναῖος Ἡράκλειτος—Serenus in Excerpt. Flor. Ioann. Damasc. ii. 116, p. 205 Meinek.: Ἡράκλειτος μὲν ἔλεγε πολυμάθειαν νοῦν μὴ ἐμποιεῖν—Respic. pseudo-Democritus fr. mor. 140 Mullach.: πολλοὶ πολυμαθέες νόον οὐκ ἔχουσι (conf. eiusdem fr. mor. 141).

XVII. Diogenes Laert. viii. 6: ἔνιοι μὲν οὖν Πυθαγόραν μηδὲ ἓν καταλιπεῖν σύγγραμμά φασι, διαπαίζοντες. Ἡράκλειτος γοῦν ὁ φυσικὸς μονονουχὶ κέκραγε καί φησι· Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων· καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποίησεν ἑωυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην. οὕτω δ᾽ εἶπεν, ἐπειδήπερ ἐναρχόμενος ὁ Πυθαγόρας τοῦ φυσικοῦ συγγράμματος λέγει κτέ—Respic. Clemens Alex. Strom. i. 21, p. 396: Ἡράκλειτος γὰρ μεταγενέστερος ὢν Πυθαγόρου μέμνηται αὐτοῦ ἐν τῷ συγγράμματι (v. fr. CXXXVIII).

XVIII. Stobaeus Floril. iii. 81.

XVII. πυθαγόρας cod. Laurentianus 13 || ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς Heraclito aufert Schleiermacher || ἐποίησεν Laurentianus, ed. Cobet.: ἐποιήσατο cod. Arundelianus, vulg. || ἑωυτοῦ Laurentianus, ed. Cobet.: ἑαυτοῦ Arundelianus, vulg. || πολυμαθείην Laurentianus: πολυμαθηίην ed. Cobet. || καλοτεχνίην Casaubon.

XVIII. ἀφικνεῖται vulg. corr. Mullach || post γινώσκειν legebatur ἢ γὰρ θεὸς ἢ θηρίον, quod quanquam ex margine in textum irrepsisse vidit iam Gaisfordius (coll. Aristot. Pol. i. 2, p. 1253 a 29), Schuster Heracliteum esse vult.

XIX.

Ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην ᾗ κυβερνᾶται πάντα διὰ πάντων.

XX.

Κόσμον <τόνδε> τὸν αὐτὸν ἁπάντων οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησε, ἀλλ' ἦν αἰεὶ καὶ ἔστι καὶ ἔσται πῦρ ἀείζωον, ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα.

XIX. Plutarchus de Iside 77, p. 382: ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὑτῆς ἔχουσα καὶ γνῶσιν οἰκείων καὶ ἀλλοτρίων φύσις ἁμωσγέπως [ἄλλως τε vulg.] ἔσπακεν ἀπορροὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος ᾧ [ὅπως vulg.] κυβερνᾶται τὸ σύμπαν, καθ' Ἡράκλειτον—Diogenes Laert. ix. 1 (post fr. XVI): εἶναι γὰρ ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην † ἥτε οἱ ἐγκυβερνήσει † πάντα διὰ πάντων—Conf. Cleanthes H. in Iov. 36: δὸς δὲ κυρῆσαι γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς—pseudo-Linus 13 Mullach.: κατ' ἔριν συνάπαντα κυβερνᾶται διὰ παντός.

XX. Plutarchus de Anim. procreat. 5, p. 1014: κόσμον τόνδε, φησὶν Ἡράκλειτος, οὔτε τις θεῶν οὔτ' ἀνθρώπων ἐποίησεν, ὥσπερ φοβηθεὶς μὴ θεοῦ ἀπογνόντες, ἄνθρωπόν τινα γεγονέναι τοῦ κόσμου δημιουργὸν ὑπονοήσωμεν—Clemens Alex. Strom. v. 14, p. 711 (=Euseb. P. E. xiii. 13, p. 676): σαφέστατα Ἡράκλειτος ὁ Ἐφέσιος ταύτης ἐστὶ τῆς δόξης, τὸν μέν τινα κόσμον ἀΐδιον εἶναι δοκιμάσας, τὸν δέ τινα φθειρόμενον, τὸν κατὰ τὴν διακόσμησιν, εἰδὼς οὐχ ἕτερον ὄντα ἐκείνου πως ἔχοντος. ἀλλ' ὅτι μὲν ἀΐδιον τὸν ἐξ ἁπάσης τῆς οὐσίας ἀϊδίως [fort. ἰδίως] ποιὸν κόσμον ᾔδει, φανερὸν ποιεῖ λέγων οὕτως· Κόσμον τὸν αὐτὸν ἁπάντων οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται πῦρ ἀείζωον ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα—Simplicius in Aristot. de cael. p. 132, Karst.: καὶ Ἡράκλειτος δὲ ποτὲ μὲν ἐκπυροῦσθαι λέγει τὸν κόσμον, ποτὲ δὲ ἐκ τοῦ πυρὸς συνίστασθαι πάλιν αὐτὸν κατά τινας χρόνων περιόδους, ἐν οἷς φησι· Μέτρα ἁπτόμενος καὶ μέτρα σβεννύμενος . . . . ἐκεῖνα εἰπὼν περὶ γενέσεως, ὡς δοκεῖ, τοῦ κόσμου καὶ τάδε γέγραφε· Κόσμον τόνδε οὔτε τις θεῶν οὔτ' ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεί. ὁ μέντοι Ἀλέξανδρος, βουλόμενος τὸν Ἡράκλειτον γενητὸν καὶ φθαρτὸν λέγειν τὸν κόσμον, ἄλλως ἀκούει

XIX. ἥτ' οἴη κυβερνήσει Diogenis ed. Cobet., Schleiermacher: ἥτ' οἰακίζει Bernays M. Rh. ix. p. 253: ὅτι ἓν κυβέρνησι Bergk; plura v. in Append. I. et ap. Mullach. ad Democrit. frr. p. 294.

XX. πάντων Eusebii codd. || αἰεὶ Eusebii codd. B C.: ἀεὶ vulg. || μέτρῳ Eusebii ed. Steph., H. Stephanus Poes. Philos. p. 132.

XXI.

Πυρὸς τροπαὶ πρῶτον θάλασσα· θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ.

τοῦ 'κόσμον τόνδε' [vulg. κόσμου νῦν]—Olympiodorus in Plat. Phaed. p. 201 Finckh.: διὰ δὲ τοῦτο ὁ ἡμέτερος καθηγεμὼν φλογώσεις φησὶν ἐξ ἐκείνων (scil. τῶν ἄστρων) ἐν τῷ αἰθέρι γίνεσθαι καὶ ταύτας ὁρᾶσθαι· καὶ μήποτε, φησί, τοῦτό ἐστιν ὅπερ ὁ Ἡράκλειτος λέγει· Ἁπτόμενος μέτρα καὶ σβεννύμενος μέτρα· οὐ γὰρ δήπου αὐτὸς ὁ ἥλιος, ἀλλ' ὁ πρὸς ἡμᾶς ἥλιος—Respic. Cleanthes H. in Iov. 9: τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν ἀμφήκη, πυρόεντ', αἰεὶ ζώοντα κεραυνόν—Nicander Alexiph. 174: πῦρ μὲν ἀείζωον (conf. Schol. ad loc.)—Epictetus ap. Stob. Floril. cviii. 60 (e Musonio): ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις καὶ ἦν καὶ ἔστι καὶ ἔσται· καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα ἢ ὡς νῦν ἔχει· καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ μεταβολῆς οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασι καὶ τἆλλα ζῶα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα, καὶ νὴ Δί', αὐτὰ τὰ τέσσαρα στοιχεῖα ἄνω καὶ κάτω τρέπεται καὶ μεταβάλλει· καὶ γῆ τε ὕδωρ γίνεται καὶ ὕδωρ ἀήρ, οὗτος δὲ πάλιν εἰς αἰθέρα μεταβάλλει· καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω—Iustinus Mart. Apol. p. 93 C (cit. Deuteron. 32, 22): καταβήσεται ἀείζωον πῦρ—M. Antoninus vii. 9: συγκατατέτακται γὰρ (scil. πάντα) καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. κόσμος τε γὰρ εἷς ἐξ ἁπάντων καὶ οὐσία μία, καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζώων—Heraclitus Alleg. Hom. 26: τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον (conf. Martianus Capella i. 87).

XXI. Clemens Alex. Strom. v. 14, p. 712 (=Euseb. P. E. xiii. 13, p. 676): ὅτι δὲ καὶ γενητὸν καὶ φθαρτὸν αὐτὸν εἶναι ἐδογμάτιζεν μηνύει τὰ ἐπιφερόμενα· Πυρὸς τροπαὶ πρῶτον θάλασσα· θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ. δυνάμει γὰρ λέγει ὅτι τὸ πῦρ ὑπὸ τοῦ διοικοῦντος λόγου καὶ θεοῦ τὰ σύμπαντα δι' ἀέρος τρέπεται εἰς ὑγρόν, τὸ ὡς σπέρμα τῆς διακοσμήσεως, ὃ καλεῖ θάλασσαν (v. Bernays Heraclit. i. p. 14), ἐκ δὲ τούτου αὖθις γίνεται γῆ καὶ οὐρανὸς καὶ τὰ ἐμπεριεχόμενα. ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται σαφῶς διὰ τούτων δηλοῖ· Θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ—Conf. Hippolytus Ref. haer. vi. 17: πάντων (scil., ait Simo Magus τὸν σκοτεινὸν Ἡράκλειτον συλαγωγῶν) ὅσων γένεσίς ἐστιν, ἀπὸ πυρὸς ἡ ἀρχὴ τῆς ἐπιθυμίας τῆς γενέσεως γίνεται· τοιγαροῦν πυροῦσθαι τὸ ἐπιθυμεῖν τῆς μεταβλητῆς γενέσεως ὀνομάζεται. ἓν δὲ ὂν τὸ πῦρ στροφὰς στρέφεται δύο κτέ. (de voc. πρηστήρ v. Seneca Q. N. ii. 56; Stob. Ecl. i. p. 594).

XXI. πῦρ τροπὰς Eusebii cod. D: πυρὸς τροπὰς codd. F G, ed. Steph. || θαλάσσης] θάλασσα Eusebii cod. F.

XXII.

Πυρὸς ἀνταμείβεται πάντα καὶ πῦρ ἁπάντων, ὥσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός.

XXIII.

Θάλασσα διαχέεται καὶ μετρέεται ἐς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι †γῆ†.

---

xxii. Plutarchus de EI 8, p. 388: ὡς γὰρ ἐκείνην (scil. τὴν διακοσμοῦσαν ἀρχήν) πλάττουσαν [ita Bernays: vulg. φυλάττουσαν] ἐκ μὲν ἑαυτῆς τὸν κόσμον ἐκ δὲ κόσμου πάλιν αὖ ἑαυτὴν ἀποτελεῖν, πυρός τε ἀνταμείβεσθαι πάντα, φησὶν ὁ Ἡράκλειτος, καὶ πῦρ ἁπάντων, ὥσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός· οὕτως ἡ τῆς πεντάδος πρὸς ἑαυτὴν σύνοδος οὐδὲν οὔτε ἀτελὲς οὔτε ἀλλότριον γεννᾶν πέφυκεν, ἀλλ' ὡρισμένας ἔχει μεταβολάς (adiacent plura ex Heracliteo fonte hausta)—Respic. Philo Leg. alleg. iii. 3, p. 89 (ad fr. I cit.)—Idem de Incorr. mundi 21, p. 508: τὰ στοιχεῖα τοῦ κόσμου ταῖς εἰς ἄλληλα μεταβολαῖς . . . . θνήσκειν δοκοῦντα ἀπαθανατίζεται δολιχεύοντα ἀεὶ καὶ τὴν αὐτὴν ὁδὸν ἄνω καὶ κάτω συνεχῶς ἀμείβοντα—Lucianus Vit. auct. 14: ἄνω κάτω περιχωρέοντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιᾷ—Diogenes Laert. ix. 8: καὶ τὰ ἐπὶ μέρους αὐτῷ ὧδ' ἔχει τῶν δογμάτων· πῦρ εἶναι στοιχεῖον καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα, ἀραιώσει καὶ πυκνώσει γιγνόμενα. σαφῶς δὲ οὐδὲν ἐκτίθεται—Heraclitus Alleg. Hom. 43 (conf. Schol. B ad Il. xviii. 468, p. 504 Bekk.): πυρὸς γὰρ δὴ κατὰ τὸν φυσικὸν Ἡράκλειτον ἀμοιβῇ τὰ πάντα γίνεται—Plotinus Enn. iv. 8, p. 468; Iamblichus ap. Stob. Ecl. i. 41 (ad fr. LXXXIII cit.)—Eusebius Praep. evang. xiv. 3, p. 720: ὁ δὲ Ἡράκλειτος ἀρχὴν τῶν πάντων ἔφη εἶναι τὸ πῦρ ἐξ οὗ τὰ πάντα γίνεται καὶ εἰς ὃ ἀναλύεται· ἀμοιβὴν γὰρ εἶναι τὰ πάντα· χρόνον τε ὡρίσθαι τῆς τῶν πάντων εἰς τὸ πῦρ ἀναλύσεως καὶ τῆς ἐκ τούτου γενέσεως—Simplicius in Aristot. Phys. 6 *a*: Ἵππασος ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος . . . . πῦρ ἐποιήσαντο τὴν ἀρχήν, καὶ ἐκ πυρὸς ποιοῦσι τὰ ὄντα πυκνώσει καὶ μανώσει· καὶ διαλύουσι πάλιν εἰς πῦρ, ὡς ταύτης μιᾶς οὔσης φύσεως τῆς ὑποκειμένης· πυρὸς γὰρ ἀμοιβὴν εἶναί φησιν Ἡράκλειτος πάντα· ποιεῖ δὲ (ita cod. Barocc. 152 et coni. Schleiermacher) καὶ τάξιν τινὰ καὶ χρόνον ὡρισμένον τῆς τοῦ κόσμου μεταβολῆς κατά τινα εἱμαρμένην ἀνάγκην (de magno Heracliti anno v. Censorin. de D. N. 18, Plutarch. Plac. Phil. ii. 32, p. 892).

xxiii. Clemens Alex. Strom. v. 14, p. 712 (=Euseb. P. E. xiii.

---

xxiii. εἰς vulg. ‖ πρόσθεν Eusebius: πρῶτον Clementis cod. ‖ γῆ om. Eusebii codd., probantibus Lassallio et Heinzio: γῆν Schuster.

XXIV.

Χρησμοσύνη . . . . κόρος.

XXV.

Ζῇ πῦρ τὸν γῆς θάνατον, καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον· ὕδωρ ζῇ τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος.

XXVI.

Πάντα τὸ πῦρ ἐπελθὸν κρινέει καὶ καταλήψεται.

13, p. 676): ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται, σαφῶς διὰ τούτων δηλοῖ· Θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων στοιχείων τὰ αὐτά.

xxiv. Philo Leg. alleg. iii. 3, p. 88 (ad fr. I cit.)—Hippolytus Ref. haer. ix. 10: λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον· καλεῖ δὲ αὐτὸ χρησμοσύνην καὶ κόρον. χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ' αὐτόν, ἡ δὲ ἐκπύρωσις κόρος. Πάντα γάρ, φησί, τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται (fr. XXVI)—Respic. Philo de Victim. 6, p. 242: ἡ εἰς μέλη τοῦ ζώου διανομὴ δηλοῖ ἤτοι ὡς ἓν τὰ πάντα, ἢ ὅτι ἐξ ἑνός τε καὶ εἰς ἕν, ὅπερ οἱ μὲν κόρον καὶ χρησμοσύνην ἐκάλεσαν, οἱ δὲ ἐκπύρωσιν καὶ διακόσμησιν—Plutarchus de EI 9, p. 389: οὐκ ἴσος ὁ τῶν περιόδων ἐν ταῖς μεταβολαῖς χρόνος, ἀλλὰ μείζων ὁ τῆς ἑτέρας, ἣν κόρον καλοῦσιν, ὁ δὲ τῆς χρησμοσύνης ἐλάττων.

xxv. Plutarchus de EI 18, p. 392 (=Euseb. P. E. xi. 11, p. 528): οὐ γὰρ μόνον, ὡς Ἡράκλειτος ἔλεγε, πυρὸς θάνατος ἀέρι γένεσις καὶ ἀέρος θάνατος ὕδατι γένεσις· ἀλλ' ἔτι σαφέστερον ἐπ' αὐτῶν <ἡμῶν> ἴδοις ἄν—Idem de Prim. frig. 10, p. 949: ἐπεὶ δὲ ἡ φθορὰ μεταβολή τίς ἐστι τῶν φθειρομένων εἰς τοὐναντίον ἑκάστῳ, σκοπῶμεν εἰ καλῶς εἴρηται τό, Πυρὸς θάνατος ἀέρος γένεσις—M. Antoninus iv. 46: ἀεὶ τοῦ Ἡρακλειτείου μεμνῆσθαι ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι καὶ ἀέρος πῦρ· καὶ ἔμπαλιν—Maximus Tyr. xli. 4, p. 489: μεταβολὴν ὁρᾷς σωμάτων καὶ γενέσεως ἀλλαγήν, ὁδὸν ἄνω καὶ κάτω, κατὰ τὸν Ἡράκλειτον· καὶ αὖθις αὖ· ζῶντας μὲν τὸν ἐκείνων θάνατον, ἀποθνήσκοντας δὲ τὴν ἐκείνων ζωήν (=fr. LXVII). ζῇ πῦρ τὸν γῆς θάνατον, καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον· ὕδωρ ζῇ τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος. διαδοχὴν ὁρᾷς βίου καὶ μεταβολὴν σωμάτων, καινουργίαν τῶν ὅλων—Respic. pseudo-Linus 21 Mullach.: ὧδε γὰρ ἀθάνατος θάνατος περὶ πάντα καλύπτει.

xxvi. Hippolytus Ref. haer. ix. 10 (ad fr. XXIV cit.)—Respic.

XXVII.

Τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι;

XXVIII.

Τὰ δὲ πάντα οἰακίζει κεραυνός.

XXIX.

Ἥλιος οὐχ ὑπερβήσεται μέτρα· εἰ δὲ μή, Ἐρινύες μιν δίκης ἐπίκουροι ἐξευρήσουσι.

---

*Aetna v. 536: quod si quis lapidis miratur fusile robur, cogitet obscuri verissima dicta libelli, Heraclite, tui, nihil insuperabile ab igni, omnia quo rerum naturae semina iacta. *Bernays*—fort. Themistius in Aristot. Phys. iii. 5, p. 231 Speng.: ἐντεῦθεν γὰρ ἡμᾶς καὶ δεδίττεται συμφλεγήσεσθαί ποτε τὸ πᾶν ἀπειλῶν, ἐπειδὴ διαλυθήσεται εἰς τοῦτο ἐξ οὗ καὶ γέγονε.

XXVII. Clemens Alex. Paedag. ii. 10, p. 229: λήσεται μὲν γὰρ ἴσως τὸ αἰσθητὸν φῶς τις, τὸ δὲ νοητὸν ἀδύνατόν ἐστιν, ἤ ὥς φησιν Ἡράκλειτος, τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι;

XXVIII. Hippolytus Ref. haer. ix. 10: λέγει δὲ καὶ κόσμου κρίσιν καὶ πάντων τῶν ἐν αὐτῷ διὰ πυρὸς γίνεσθαι, λέγων οὕτως· Τὰ δὲ πάντα οἰακίζει κεραυνός, τουτέστι κατευθύνει· κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον—Respic. Cleanthes H. in Iovem 10: τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν ἀμφήκη πυρόεντ' αἰεὶ ζώοντα κεραυνόν .... ᾧ σὺ κατευθύνεις κοινὸν λόγον κτέ. (sed v. Wachsmuth ad loc.)—fort. Philodemus περὶ εὐσεβείας p. 70 ed. Gomperz.: ὥς φησιν .... κεραυνὸς π<άντ' οἰακ>ίζει.

XXIX. Plutarchus de Exil. 11, p. 604: τῶν πλανήτων ἕκαστος ἐν μιᾷ σφαίρᾳ, καθάπερ ἐν νήσῳ, περιπολῶν διαφυλάττει τὴν τάξιν· ἥλιος γὰρ οὐχ ὑπερβήσεται μέτρα, φησὶν ὁ Ἡράκλειτος· εἰ δὲ μή, Ἐρινύες μιν δίκης ἐπίκουροι ἐξευρήσουσιν—Idem de Iside 48, p. 370: τὸν μὲν Ὅμηρον, εὐχόμενον ἔκ τε θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι, λανθάνειν φησὶ τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων. ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους· εἰ δὲ μή, γλώττας [fort. πανόπτας vel ἐπόπτας] μιν δίκης ἐπικούρους ἐξευρήσειν—Respic. pseudo-Pythagoras ap. Hippolyt. Ref. haer. vi. 26; Iamblichus Protrept. 21, p. 132 Arcer. (ad fr. XCV cit.); pseudo-Heraclitus Epist. ix: πολλαὶ δίκης Ἐρινύες, ἁμαρτημάτων φύλακες.

XXVII. τις] τινα Schleiermacher: τι Gataker.

XXX.

Ἠοῦς καὶ ἑσπέρης τέρματα ἡ ἄρκτος, καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διός.

XXXI.

Εἰ μὴ ἥλιος ἦν, εὐφρόνη ἂν ἦν.

XXXII.

Νέος ἐφ' ἡμέρῃ ἥλιος.

XXX. Strabo i. 6, p. 3: βέλτιον δ' Ἡράκλειτος καὶ ὁμηρικωτέρως, ὁμοίως ἀντὶ τοῦ ἀρκτικοῦ τὴν ἄρκτον ὀνομάζων· Ἠοῦς καὶ ἑσπέρης τέρματα ἡ ἄρκτος, καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διός. ὁ γὰρ ἀρκτικός ἐστι δύσεως καὶ ἀνατολῆς ὅρος, οὐχ ἡ ἄρκτος.

XXXI. Plutarchus Aq. et ign. comp. 7, p. 957: Ἡράκλειτος μὲν οὖν, Εἰ μὴ ἥλιος, φησίν, ἦν, εὐφρόνη ἂν ἦν—Idem de Fortuna 3, p. 98: καὶ ὥσπερ ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνην ἂν ἤγομεν, ὥς φησιν Ἡράκλειτος· οὕτως ἕνεκα τῶν αἰσθήσεων, εἰ μὴ νοῦν μηδὲ λόγον ὁ ἄνθρωπος ἔσχεν, οὐδὲν ἂν διέφερε τῷ βίῳ τῶν θηρίων—Respic. Clemens Alex. Protrept. 11, p. 87: ἡλίου μὴ ὄντος, ἕνεκα τῶν ἄλλων ἄστρων νὺξ ἂν ἦν τὰ πάντα—Conf. Macrobius in Somn. Scip. i. 20: Heraclitus fontem caelestis lucis (*scil.* solem) appellat.

XXXII. Aristoteles Meteor. ii. 2, p. 355 *a* 9: ἡ μὲν γὰρ φλὸξ διὰ συνεχοῦς ὑγροῦ καὶ ξηροῦ μεταβαλλόντων γίγνεται καὶ οὐ τρέφεται· οὐ γὰρ ἡ αὐτὴ οὖσα διαμένει οὐδένα χρόνον ὡς εἰπεῖν· περὶ δὲ τὸν ἥλιον ἀδύνατον τοῦτο συμβαίνειν, ἐπεὶ τρεφομένου γε τὸν αὐτὸν τρόπον, ὥσπερ ἐκεῖνοί φασι, δῆλον ὅτι καὶ ὁ ἥλιος οὐ μόνον καθάπερ Ἡράκλειτός φησι, νέος ἐφ' ἡμέρῃ ἐστίν, ἀλλ' ἀεὶ νέος συνεχῶς—Alexander Aphrod. in Meteor. l. l. fol. 93 *a*: εἴ γε ἐτρέφετο ὁ ἥλιος οὕτως ὡς καὶ τὸ πῦρ καθά φασιν, οὐ μόνον ὡς Ἡράκλειτός φησι, νέος ἐφ' ἡμέρῃ ἂν ἦν, καθ' ἑκάστην ἡμέραν ἄλλος ἐξαπτόμενος τοῦ πρώτου ἐν τῇ δύσει σβεννυμένου, ἀλλ' ἀεί τε καὶ συνεχῶς, νέος τε καὶ ἄλλοτε ἄλλος ἐγίνετο, ὥσπερ καὶ αἱ φλόγες, ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχων—Olympiodorus in Meteor. l. l. fol. 30 *a*: ὑπερβησόμεθα δὲ τὴν Ἡρακλείτειον παραδοξολογίαν· οὐκέτι γὰρ νέος ἐφ' ἡμέρῃ γενήσεται ὁ ἥλιος διὰ τὸν Ἡράκλειτον, ἀλλὰ νέος καθ' ἕκαστον νῦν. ἔλεγε γὰρ ὁ Ἡράκλειτος ὅτι πῦρ ὑπάρχων ὁ ἥλιος, ὅταν μὲν ἐν ταῖς

XXX. γὰρ post ἠοῦς vulg. add.; superscriptum habet cod. B || ἑσπέρας vulg. corr. Meineke.

XXXIII.

Diogenes Laert. i. 23: δοκεῖ δὲ (scil. Θαλῆς) κατά τινας πρῶτος ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος ἐν τῇ περὶ τῶν ἀστρολογουμένων ἱστορίᾳ· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος θαυμάζει. μαρτυρεῖ δ' αὐτῷ καὶ Ἡράκλειτος καὶ Δημόκριτος.

XXXIV.

Plutarchus Qu. Plat. viii. 4, p. 1007: οὕτως οὖν ἀναγκαίαν πρὸς τὸν οὐρανὸν ἔχων συμπλοκὴν καὶ συναρμογὴν ὁ χρόνος οὐχ ἁπλῶς ἐστι κίνησις ἀλλ', ὥσπερ εἴρηται, κίνησις ἐν τάξει μέτρον ἐχούσῃ καὶ πέρατα καὶ περιόδους. ὧν ὁ ἥλιος ἐπιστάτης ὢν καὶ σκοπός, ὁρίζειν καὶ βραβεύειν καὶ ἀναδεικνύναι καὶ ἀναφαίνειν μεταβολὰς καὶ ὥρας αἳ πάντα φέρουσι, καθ' Ἡράκλειτον, οὐδὲ φαύλων οὐδὲ μικρῶν, ἀλλὰ τῶν μεγίστων καὶ κυριωτάτων τῷ ἡγεμόνι καὶ πρώτῳ θεῷ γίνεται συνεργός.

XXXV.

Διδάσκαλος δὲ πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκε· ἔστι γὰρ ἕν.

ἀνατολαῖς ὑπάρχῃ, ἀνάπτεται διὰ τὴν ἐκεῖσε θερμότητα, ὅταν δὲ ἐν ταῖς δυσμαῖς ἔλθῃ, σβέννυται διὰ τὴν ἐκεῖσε ψῦξιν—Plotinus Enn. ii. 1, p. 97: συγχωρῶν (scil. Plato) καὶ ἐπὶ τούτων δηλονότι τῷ Ἡρακλείτῳ, ὃς ἔφη ἀεὶ καὶ τὸν ἥλιον γίνεσθαι—Proclus in Tim. p. 334 B: διὰ δὴ τοῦτο καὶ τὸν ἥλιον νέον θεὸν εἰώθασιν ἀποκαλεῖν· καὶ νέος ἐφ' ἡμέρῃ ἥλιος, φησὶν Ἡράκλειτος, ὡς Διονυσιακῆς μετέχοντα δυνάμεως—Respic. Plato de Rep. vi. p. 498 B (conf. Schol. ad loc.); Olympiodorus in Plat. Phaed. p. 201 Finckh. (ad fr. XX citatus).

XXXIV. Respic. Plutarchus de Def. orac. 12, p. 416: ἐνιαυτὸς ἀρχὴν ἐν αὑτῷ καὶ τελευτὴν ὁμοῦ πάντων ὧν φέρουσιν ὧραι γῆ δὲ φύει περιέχων—M. Antoninus ix. 3: ὅσα αἱ τοῦ σοῦ βίου ὧραι φέρουσι—pseudo-Heraclitus Epist. v: μιμήσομαι θεόν, ὃς κόσμου ἀμετρίας ἐπανισοῖ ἡλίῳ ἐπιτάττων.

XXXV. Hippolytus Ref. haer. ix. 10: οὐδὲ σκότος οὐδὲ φῶς, οὐδὲ πονηρὸν οὐδὲ ἀγαθὸν ἕτερόν φησιν εἶναι ὁ Ἡράκλειτος, ἀλλὰ ἓν καὶ τὸ αὐτό· ἐπιτιμᾷ γοῦν Ἡσιόδῳ ὅτι ἡμέραν καὶ νύκτα οἶδεν· ἡμέρα γάρ, φησί, καὶ νύξ

XXXV. εὐφροσύνην cod. corr. Miller.

XXXVI.

Ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός· ἀλλοιοῦται δὲ ὅκωσπερ ὁκόταν συμμιγῇ < θύωμα > θυώμασι· ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου.

XXXVII.

Aristoteles de Sensu 5, p. 443 *a* 21: δοκεῖ δ' ἐνίοις ἡ καπνώδης ἀναθυμίασις εἶναι ὀσμή, οὖσα κοινὴ γῆς τε καὶ ἀέρος. καὶ πάντες ἐπιφέρονται ἐπὶ τοῦτο περὶ ὀσμῆς· διὸ καὶ Ἡράκλειτος οὕτως εἴρηκεν, ὡς εἰ πάντα τὰ ὄντα καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν.

XXXVIII.

Αἱ ψυχαὶ ὀσμῶνται καθ' ᾅδην.

ἐστιν ἕν, λέγων ὧδέ πως· Διδάσκαλος δὲ πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν· ἔστι γὰρ ἕν.

XXXVI. Hippolytus Ref. haer. ix. 10: τὸν γὰρ πρῶτον [ποιητὸν Bernays: fort. προῦπτον] κόσμον αὐτὸν δημιουργὸν καὶ ποιητὴν ἑαυτοῦ γινόμενον οὕτω λέγει· Ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός (τἀναντία ἅπαντα· οὗτος ὁ νοῦς)· ἀλλοιοῦται δὲ ὅκωσπερ ὁκόταν συμμιγῇ θυώμασιν· ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου (conf. Ref. haer. v. 21 init.)—Respic. Hippocrates περὶ διαίτης i. 4 Littr.: ξυμμισγόμενα δὲ καὶ διακρινόμενα ἀλλοιοῦται.

XXXVIII. Plutarchus de Fac. in orbe lun. 28, p. 943: αἱ δ' ἄνω γενόμεναι (scil. ψυχαί) . . . . ἀκτῖνι τὴν ὄψιν ἐοικυῖαι, πυρὶ δὲ τὴν ψυχὴν ἄνω κουφιζομένην, ὥσπερ ἐνταῦθα, τῷ περὶ τὴν σελήνην αἰθέρι, καὶ τόνον ἀπ' αὐτοῦ καὶ δύναμιν, οἷον τὰ στομούμενα βαφήν, ἴσχουσι. τὸ γὰρ ἀραιὸν ἔτι καὶ διακεχυμένον ῥώννυται καὶ γίνεται σταθερὸν καὶ διαυγές, ὥστε ὑπὸ τῆς τυχούσης ἀναθυμιάσεως τρέφεσθαι· καὶ καλῶς Ἡράκλειτος εἶπεν ὅτι αἱ ψυχαὶ ὀσμῶνται καθ' ᾅδην.

XXXVI. post λιμός ex Hippolyto infercit Bergkius τἀναντία ἅπαντα· ωὑτὸς νόος· || οἶνος addit post ὅκωσπερ Bergkius, post θυώμασιν Schuster || ὁπόταν cod. corr. Miller || συμμιγῇ cod.: συμμιγῇ < θύωμα > Bernays: συμμιγῇ < ἀὴρ > Zeller: συμμιγέα θυώμα< -τα διαφόροις ὀνόμα- >σιν R. Scott: vulgatam lectionem tuetur Teichmueller *Nov. Stud.* i. p. 66 || < ὃ > ὀνομάζεται Cruice: ὃ νομίζεται Wordsworth.

XXXIX.

Τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται.

XL.

Σκίδνησι καὶ συνάγει, πρόσεισι καὶ ἄπεισι.

XLI.

Ποταμοῖσι δὶς τοῖσι αὐτοῖσι οὐκ ἂν ἐμβαίης· ἕτερα γὰρ <καὶ ἕτερα> ἐπιρρέει ὕδατα.

XXXIX. Schol. Tzetzae ad Exeg. in Iliad. p. 126 Hermann.: *ὁ παλαιὸς γὰρ Ἡράκλειτος ὁ Ἐφέσιος ἐκαλεῖτο δεινὸς διὰ τὸ τῶν λόγων αὐτοῦ σκοτεινόν· Τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑ . . . . αὐαίνεται, καρφαλέον νοτίζετ . . . .*—Conf. Hippocrates *περὶ διαίτης* i. 21: *ἐξ ὑγρῶν ξηρὰ ποιέοντες καὶ ἐκ τῶν ξηρῶν ὑγρά*—pseudo-Heraclitus Epist. v: *καὶ ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται, θερμὰ ψύχεται*—Apuleius de Mundo 21: umidis arida . . . . confundit.

XL. Plutarchus de EI 18, p. 392 (ad fr. XLI cit.)—Respic. pseudo-Heraclitus Epist. vi: *θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει ἐπανισῶν αὐτῶν τὸ ἄμετρον· τὰ θρυπτόμενα ἑνοποιεῖ, τὰ ὀλισθήσαντα ὑποφθὰς πιέζει, συνάγει τὰ σκιδνάμενα, φαιδρύνει τὰ ἀπρεπῆ* (conf. Schleiermacher p. 358).

XLI. Plato Crat. 402 A: *λέγει που Ἡράκλειτος ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει, καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης*—Aristoteles Metaph. iv. 5, p. 1010 *a* 13: *Κρατύλος . . . . Ἡρακλείτῳ ἐπετίμα εἰπόντι ὅτι δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι· αὐτὸς γὰρ ᾤετο οὐδ' ἅπαξ*—Plutarchus Qu. nat. 2, p. 912: *τὰ γὰρ πηγαῖα καὶ ποτάμια νάματα πρόσφατα μέν ἐστι καὶ νεογενῆ· ποταμοῖσι γὰρ δὶς τοῖς αὐτοῖς οὐκ ἂν ἐμβαίης, ὥς φησιν Ἡράκλειτος· ἕτερα γὰρ ἐπιρρεῖ ὕδατα*—Idem de Sera num. vind. 15, p. 559: *ἢ λήσομεν εἰς τὸν Ἡρακλείτειον ἅπαντα πράγματα ποταμὸν ἐμβαλόντες, εἰς ὃν οὔ φησι δὶς <εἶναι> ἐμβῆναι, τῷ πάντα κινεῖν καὶ ἑτεροιοῦν τὴν φύσιν μεταβάλλουσαν*—Idem de EI 18, p. 392: *ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ, καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει* (v. Bernays de Epp. Heraclit. p. 55), *μᾶλλον δὲ οὐδὲ πάλιν οὐδὲ ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει, πρόσεισι καὶ ἄπεισι*—Simplicius in Aristot. Phys. f. 17 *a*: *ἣν* (scil. *ῥοὴν*) *ὁ Ἡράκλειτος ᾐνίξατο, διὰ τοῦ εἰς τὸν αὐτὸν* *ποταμὸν δὶς μὴ ἂν ἐμβῆναι, τῷ ἐνδελεχεῖ τοῦ ποταμοῦ ῥοῇ τὴν γένεσιν ἀπεικάζων*—f. 308 *b*: *τοὺς περὶ Ἡράκλειτον φυσιολόγους . . . . εἰκός ἐστι λέγειν ὅτι ἀεὶ πάντα ῥεῖ καὶ ὅτι εἰς τὸν αὐτὸν ποταμὸν δὶς οὐκ ἂν ἐμβαίης.*—* Georgius Pachymeres Hist. v. 232 B (ex Aristot. l. l.). *Bernays.*

XLII.

† Ποταμοῖσι τοῖσι αὐτοῖσι ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ †.

XLIII.

Aristoteles Eth. Eud. vii. 1, p. 1235 *a* 26: καὶ Ἡράκλειτος ἐπιτιμᾷ τῷ ποιήσαντι· ὡς ἔρις ἔκ τε θεῶν καὶ ἀνθρώπων ἀπόλοιτο· οὐ γὰρ ἂν εἶναι ἁρμονίαν μὴ ὄντος ὀξέος καὶ βαρέος, οὐδὲ τὰ ζῷα ἄνευ θήλεος καὶ ἄρρενος, ἐναντίων ὄντων.

XLII. Arius Didymus ap. Euseb. P. E. xv. 20, p. 821: *περὶ δὲ ψυχῆς Κλεάνθης μὲν τὰ Ζήνωνος δόγματα παρατιθέμενος πρὸς σύγκρισιν τὴν πρὸς τοὺς ἄλλους φυσικούς φησιν, ὅτι Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν* [*αἴσθησιν ἢ* vulg. corr. Wellmannus] *ἀναθυμίασιν, καθάπερ Ἡράκλειτος· βουλόμενος γὰρ ἐμφανίσαι ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτὰς τοῖς ποταμοῖς λέγων οὕτως· Ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται. ἀναθυμίασιν μὲν οὖν ὁμοίως τῷ Ἡρακλείτῳ* (conf. Aristot. de Anima i. 2, p. 405 *a* 25) *τὴν ψυχὴν ἀποφαίνει Ζήνων* (est igitur hoc dictum Zenoni tribuendum, scilicet Heraclitea verba libere citanti inque suum usum accommodanti)—Conf. Sextus Emp. Pyrrh. hyp. iii. 115: *τὸν μὲν Πλάτωνα μηδὲ ὄντα λέγειν τὰ σώματα ἀλλὰ γινόμενα μᾶλλον καλεῖν, τὸν δὲ Ἡράκλειτον ὀξείᾳ ποταμοῦ ῥύσει τὴν εὐκινησίαν τῆς ἡμετέρας ὕλης ἀπεικάζειν.*

XLIII. Plutarchus de Iside 48, p. 370 (ad fr. XLIV cit.)—Chalcidius in Tim. 295: Numenius laudat Heraclitum reprehendentem Homerum qui optaverit interitum ac vastitatem malis vitae, quod non intelligeret mundum sibi deleri placere—Simplicius in Arist. Categ. p. 104 Δ ed. Basil. (=Scholl. in Aristot. 88 *b* 28): *οὐ συγχωρήσουσι δὲ ὅσοι τἀναντία ἀρχὰς ἔθεντο, οἵ τε ἄλλοι καὶ οἱ Ἡρακλείτειοι· εἰ γὰρ τὸ ἕτερον τῶν ἐναντίων ἐπιλείψει, οἴχοιτο ἂν πάντα ἀφανισθέντα. διὸ καὶ μέμφεται τῷ Ὁμήρῳ Ἡράκλειτος εἰπόντι· ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο· οἰχήσεσθαι γάρ φησι πάντα*—Schol. Ven. (A.) ad Il. xviii. 107: *Ἡράκλειτος τὴν τῶν ὄντων φύσιν κατ' ἔριν συνεστάναι νομίζων μέμφεται Ὅμηρον, σύγχυσιν κόσμου δοκῶν αὐτὸν εὔχεσθαι. πρὸς ὃν ἄν τις εἴποι ὅτι οὐ λέγει νῦν τὴν ἐναντίωσιν ἔριν ἀλλὰ τὴν ἔχθραν*—Eustathius ad Il. xviii. 107, p. 1133, 56: *διὸ οἱ παλαιοί φασιν ὡς*

XLIV.

Πόλεμος πάντων μὲν πατήρ ἐστι πάντων δὲ βασιλεύς, καὶ τοὺς μὲν θεοὺς ἔδειξε τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους.

XLV.

Οὐ ξυνίασι ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει· παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρης.

Ἡράκλειτος δοξάζων τὰ ὄντα κατὰ ἔριν συνίστασθαι, τοῦτ' ἔστι κατὰ μάχην καὶ ἐναντιότητα ποιοτήτων, μέμφεται τῷ ποιητῇ εὐχομένῳ πάντοθεν ἀπολέσθαι τὴν ἔριν· σύγχυσιν γάρ, φησίν, εὔχεται τοῦ κόσμου παντός. οἱ δὲ τοῦτο λύοντες λέγουσιν κτέ.

XLIV. Plutarchus de Iside 48, p. 370: Ἡράκλειτος μὲν γὰρ ἄντικρυς πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον πάντων· καὶ τὸν μὲν Ὅμηρον εὐχόμενον ἔκ τε θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι, λανθάνειν φησὶ τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων—Hippolytus Ref. haer. ix. 9: ὅτι δέ ἐστιν ὁ πατὴρ πάντων τῶν γεγονότων γενητὸς ἀγένητος, κτίσις δημιουργός, ἐκείνου λέγοντος ἀκούομεν· Πόλεμος πάντων μὲν πατήρ ἐστι πάντων δὲ βασιλεύς, καὶ τοὺς μὲν θεοὺς ἔδειξε τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους—Proclus in Tim. 54 A (conf. 24 B): εἰ ὁ γενναῖος Ἡράκλειτος εἰς ταύτην ἀπιδὼν ἔλεγε· Πόλεμος πατὴρ πάντων, οὐδ' οὗτος ἀτόπως ἔλεγεν—Respic. Chrysippus ap. Philodem. π. εὐσεβείας vii, p. 81 Gomperz.: καὶ τὸν πόλεμον καὶ τὸν Δία τὸν αὐτὸν εἶναι, καθάπερ καὶ τὸν Ἡράκλειτον λέγειν—Lucianus Quomodo hist. conscrib. 2: ἀληθὲς ἄρ' ἦν ἐκεῖνο τό· Πόλεμος ἁπάντων πατήρ—Idem Icaromen. 8: ἕτερος δέ τις οὐκ εἰρηνικὸς ἀνὴρ πόλεμον τῶν ὅλων πατέρα εἶναι ἐδόξαζε.

XLV. Plato Symp. 187 A: μουσικὴ δὲ καὶ παντὶ κατάδηλος τῷ καὶ σμικρὸν προσέχοντι τὸν νοῦν ὅτι κατὰ ταὐτὰ ἔχει τούτοις, ὥσπερ ἴσως καὶ Ἡράκλειτος βούλεται λέγειν, ἐπεὶ τοῖς γε ῥήμασιν οὐ καλῶς λέγει. τὸ ἓν γάρ φησι διαφερόμενον αὐτὸ αὑτῷ ξυμφέρεσθαι, ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας—Idem Soph. 242 D: Ἰάδες δὲ καὶ Σικελαί τινες ὕστερον μοῦσαι ξυννενοήκασιν ὅτι συμπλέκειν ἀσφαλέστατον ἀμφότερα καὶ λέγειν ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθρᾳ δὲ καὶ φιλίᾳ συνέχεται. διαφερόμενον γὰρ

XLIV. ἀνέδειξε susp. Roeper.

XLV. ὁμολογέειν Hippolyti cod. corr. Miller || τοῦ ὀξέος τε καὶ βαρέος Bast: τόξου καὶ νευρῆς Bergk (quam coniecturam improbat ipse ad Lyr. Graec. p. 792 ed. tert.) — v. adn. crit. ad fr. LVI.

XLVI.

Aristoteles Eth. Nic. viii. 2, p. 1155 *b* 1: καὶ περὶ αὐτῶν τούτων ἀνώτερον ἐπιζητοῦσι καὶ φυσικώτερον· Εὐριπίδης μὲν φάσκων ἐρᾶν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν, ἐρᾶν δὲ σεμνὸν οὐρανὸν πληρούμενον ὄμβρου πεσεῖν ἐς γαῖαν· καὶ Ἡράκλειτος τὸ ἀντίξουν συμφέρον, καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν, καὶ πάντα κατ' ἔριν γίνεσθαι.

XLVII.

Ἁρμονίη ἀφανὴς φανερῆς κρείσσων.

ἀεὶ ξυμφέρεται, φασὶν αἱ συντονώτεραι τῶν μουσῶν—Plutarchus de Anim. procreat. 27, p. 1026: ἣν (scil. ἀνάγκην) εἱμαρμένην οἱ πολλοὶ καλοῦσιν· Ἐμπεδοκλῆς δὲ φιλίαν ὁμοῦ καὶ νεῖκος· Ἡράκλειτος δὲ παλίντροπον ἁρμονίην κόσμου, ὅκωσπερ λύρας καὶ τόξου—Hippolytus Ref. haer. ix. 9 (ad fr. I cit.)—Respic. Synesius de Insomn. 135 A: τὸ δ' ἐξ ἀντικειμένων ἓν ἁρμονία, καὶ λύρας καὶ κόσμου—Conf. Parmenides v. 59 Stein.: πάντων δὲ παλίντροπός ἐστι κέλευθος.

XLVI. Conf. Theophrastus Metaph. 15: ἄλογον δὲ κἀκεῖνο δόξειεν ἂν εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ' ἐν τάξει καὶ λόγῳ καὶ μορφαῖς καὶ δυνάμεσι καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον, ἀλλ' ὥσπερ σάρον [ita Bernays: σωρὸς Usener; σὰρξ vulg.] εἰκῇ κεχυμένων ὁ κάλλιστος, φησὶν Ἡράκλειτος, [ὁ] κόσμος—Respic. hanc argumenti Heraclitei partem Philo Qu. in Gen. iii. 5, p. 178 Aucher.; idem autem *de Agricult.* 31, p. 321 hunc de contrariis locum testatur admodum tritum in scholis fuisse philosophorum.

XLVII. Plutarchus de Anim. procreat. 27, p. 1026: τῆς δὲ ψυχῆς οὐδὲν μὲν εἰλικρινὲς οὐδ' ἄκρατον, οὐδὲ χωρὶς ἀπολείπεται τῶν ἄλλων· ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων, καθ' Ἡράκλειτον, ἐν ᾗ τὰς διαφορὰς καὶ τὰς ἑτερότητας ὁ μιγνύων θεὸς ἔκρυψε καὶ κατέδυσεν—Hippolytus Ref. haer. ix. 9–10: ὅτι δέ ἐστιν . . . . ἀφανὴς [?] ὁ ἀόρατος ἄγνωστος ἀνθρώποις ἐν τούτοις λέγει· Ἁρμονίη ἀφανὴς φανερῆς κρείττων. ἐπαινεῖ καὶ προθαυμάζει πρὸ τοῦ γινωσκομένου τὸ ἄγνωστον αὐτοῦ καὶ ἀόρατον τῆς δυνάμεως. ὅτι δέ ἐστιν ὁρατὸς ἀνθρώποις καὶ οὐκ ἀνεξεύρετος, ἐν τούτοις λέγει· Ὅσων ὄψις ἀκοὴ μάθησις, ταῦτα ἐγὼ προτιμέω (=fr. XIII), φησί, τουτέστι τὰ ὁρατὰ τῶν ἀοράτων. ἀπὸ τῶν τοιούτων αὐτοῦ λόγων κατανοεῖν ῥᾴδιον· ἐξηπάτηνται, φησίν, οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρῳ, ὃς ἐγένετο τῶν Ἑλλήνων σοφώτερος πάντων. ἐκεῖνόν

XLVII. ἐς τί γὰρ ἁ. ἀ. φ. κρέσσων; Schuster.

XLVIII.

Μὴ εἰκῆ περὶ τῶν μεγίστων συμβαλώμεθα.

XLIX.

Χρὴ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι.

L.

Γναφέων ὁδὸς εὐθεῖα καὶ σκολιὴ μία ἐστὶ καὶ ἡ αὐτή.

LI.

Ὄνοι σύρματ' ἂν ἕλοιντο μᾶλλον ἢ χρυσόν.

τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν εἰπόντες· Ὅσα εἴδομεν καὶ κατελάβομεν ταῦτα ἀπελίπομεν, ὅσα δὲ οὔτε εἴδομεν οὔτ' ἐλάβομεν, ταῦτα φέρομεν. οὕτως Ἡράκλειτος ἐν ἴσῃ μοίρᾳ τίθεται καὶ τιμᾷ τὰ ἐμφανῆ τοῖς ἀφανέσιν, ὡς ἕν τι τὸ ἐμφανὲς καὶ τὸ ἀφανὲς ὁμολογουμένως ὑπάρχον. τί γάρ φησιν; Ἁρμονίη ἡ ἀφανὴς φανερῆς κρείττων· καί· Ὅσων ὄψις ἀκοὴ μάθησις (τουτέστι τὰ ὄργανα) ταῦτα, φησίν, ἐγὼ προτιμέω, οὐ τὰ ἀφανῆ προτιμήσας; (quae hic de Homero narrantur credunt ab Heraclito profecta Schuster aliique; v. tamen Val. Max. ix. 12; pseudo-Plut. de vit. Hom. i. 4, p. 1061 Wytt.)—Respic. fort. Plotinus Enn. i. 6, p. 53; Proclus in Cratyl. p. 107 ed. Boissonad.

XLVIII. Diogenes Laert. ix. 73: ἔτι μὴν Ἡράκλειτον· Μὴ εἰκῆ περὶ τῶν μεγίστων συμβαλλώμεθα· καὶ Ἱπποκράτην ἐνδοιαστῶς καὶ ἀνθρωπίνως ἀποφαίνεσθαι κτἑ.

XLIX. Clemens Alex. Strom. v. 14, p. 733: χρὴ γὰρ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι, καθ' Ἡράκλειτον· καὶ τῷ ὄντι ἀνάγκη "πολλὰ πλανηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν."

L. Hippolytus Ref. haer ix. 10: καὶ εὐθὺ δέ, φησί, καὶ στρεβλὸν τὸ αὐτό ἐστι. γραφέων, φησίν, ὁδὸς εὐθεῖα καὶ σκολιή· ἡ τοῦ ὀργάνου τοῦ καλουμένου κοχλίου ἐν τῷ γραφείῳ [γναφείῳ Bernays] περιστροφὴ εὐθεῖα καὶ σκολιή· ἄνω γὰρ ὁμοῦ καὶ κύκλῳ περιέρχεται· μία ἐστί, φησί, καὶ ἡ αὐτή—Conf. Apuleius de Mundo 21: directis obliqua confundit.

LI. Aristoteles Eth. Nic. x. 5, p. 1176 *a* 6: ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτός φησιν ὄνον [ὄνους cod. Laurent.] σύρματ' ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις.

XLVIII. συμβαλώμεθα cod. Arundelianus: συμβαλλώμεθα ed. Cobet., vulg.
XLIX. ἵστορας Dindorf.
L. γναφέων Duncker: γραφέων cod.: γναφείῳ Bernays.

LII.

Θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.

LIII.

Columella de R. R. viii. 4: siccus etiam pulvis et cinis, ubicunque cohortem porticus vel tectum protegit, iuxta parietes reponendus est, ut sit quo aves se perfundant: nam his rebus plumam pinnasque emendant, si modo credimus Ephesio Heraclito qui ait: sues coeno, cohortales aves pulvere (vel cinere) lavari.

LIV.

Βορβόρῳ χαίρειν.

LII. Hippolytus Ref. haer. ix. 10: καὶ τὸ μιαρόν φησι καὶ τὸ καθαρὸν ἓν καὶ ταὐτὸν εἶναι, καὶ τὸ πότιμον καὶ τὸ ἄποτον ἓν καὶ ταὐτὸν εἶναι. Θάλασσα, φησίν, ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον—Respic. Sextus Empir. Pyrrh. hyp. i. 55 (ad fr. LIV cit.).

LIII. Conf. Galenus Protrept. 13, p. 5 ed. Bas.: τάχ' οὖν ἐπὶ τῷ δι' ὅλης ἡμέρας κονίεσθαι, δικαιοῦσιν· ἀλλὰ τοῦτό γε καὶ τοῖς ὄρτυξι καὶ τοῖς πέρδιξιν ὑπάρχει· καὶ εἴπερ ἐπὶ τούτῳ, μέγα χρὴ φρονεῖν ἐπὶ τῷ δι' ὅλης ἡμέρας βορβόρῳ λούεσθαι.

LIV. Athenaeus v, p. 178 F: ἀπρεπὲς γὰρ ἦν, φησὶν Ἀριστοτέλης, ἥκειν εἰς τὸ συμπόσιον σὺν ἱδρῶτι πολλῷ καὶ κονιορτῷ. δεῖ γὰρ τὸν χαρίεντα μήτε ῥυπᾶν μήτε αὐχμεῖν μήτε βορβόρῳ χαίρειν καθ' Ἡράκλειτον—Integra Heracliti sententia superesse videtur ap. Clem. Alex. Protrept. 10, p. 75: οἱ δὲ σκωλήκων δίκην περὶ τέλματα καὶ βορβόρους τὰ ἡδονῆς ῥεύματα καλινδούμενοι (v. Bake ad Cleomed. p. 440) ἀνονήτους καὶ ἀνοήτους ἐκβόσκονται τρυφάς, ὑώδεις τινὲς ἄνθρωποι. ὕες γάρ, φησίν, ἥδονται βορβόρῳ μᾶλλον ἢ καθαρῷ ὕδατι, καὶ ἐπὶ φορυτῷ μαργαίνουσι κατὰ Δημόκριτον (=fr. moral. 48 Mullach.): v. etiam Strom. i. 1, p. 317; ii. 15, p. 465—Conf. Sextus Empir. Pyrrh. hyp. i. 55: τὸ θαλάττιον ὕδωρ ἀνθρώποις μὲν ἀηδές ἐστι πινόμενον καὶ φαρμακῶδες, ἰχθύσι δὲ ἥδιστον καὶ πότιμον (=fr. LII)· σύες δὲ ἥδιον βορβόρῳ λούονται δυσωδεστάτῳ ἢ ὕδατι διειδεῖ καὶ καθαρῷ—Plotinus Enn. i. 6, p. 55: τὸ μὴ καθαρὸν βορβόρῳ διὰ κάκην φίλον· οἷα δὴ καὶ ὕες, οὐ καθαραὶ τὸ σῶμα, χαίρουσι τῷ τοιούτῳ—Vincentius Bellovac. Spec. mor. iii. 9, 3 (=Woelfflin de

LV.

Πᾶν ἑρπετὸν πληγῇ νέμεται.

LVI.

Παλίντονος ἁρμονίη κόσμου ὅκωσπερ λύρης καὶ τόξου.

Caecil. Balb. p. 18): legitur in proverbiis philosophorum quod, cum quidam diceret audiente Pythagora, quod libentius moraretur in mulierum consortio quam in philosophorum contubernio, respondit Pythagoras: Et sus libentius in luto quam in aqua pura [*clara* ed. Ven. 1591] — De vulgari proverbii forma v. adnot. ad Paroem. Graec t. ii, p. 705 ed. Gotting.

LV. Aristoteles de Mundo 6, p. 401 *a* 8 (=Apuleius de Mundo 36; Stobaeus Ecl. i. 2, p. 86): *τῶν τε ζῴων τά τε ἄγρια καὶ ἥμερα, τά τε ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν ὕδατι βοσκόμενα, γίνεται καὶ ἀκμάζει καὶ φθείρεται τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς· πᾶν γὰρ ἑρπετὸν τὴν γῆν νέμεται, ὥς φησιν Ἡράκλειτος* (conf. Schol. ad Nicand. Alexiph. 174).

LVI. Plutarchus de Tranquill. 15, p. 473: *παλίντονος γὰρ ἁρμονίη κόσμου, ὅκωσπερ λύρης καὶ τόξου· καὶ τῶν ἀνθρωπίνων καθαρὸν οὐδὲν οὐδ' ἀμιγές, ἀλλ' ὥσπερ ἐν μουσικῇ βαρεῖς φθόγγοι καὶ ὀξεῖς κτέ*—Idem de Iside 45, p. 369: *παλίντονος γὰρ ἁρμονίη κόσμου ὅκωσπερ λύρης καὶ τόξου, καθ' Ἡράκλειτον· καὶ κατ' Εὐριπίδην· Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά, ἀλλ' ἔστι τις σύγκρασις ὥστ' ἔχειν καλῶς*—Porphyrius de Antro nymph. 29: *καὶ κέντρον τὸ μὲν ὑπὲρ γῆν τὸ δ' ὑπόγειον, τὸ μὲν ἀνατολικὸν τὸ δὲ δυτικόν· καὶ τὰ μὲν ἀριστερὰ τὰ δὲ δεξιά· νύξ τε καὶ ἡμέρα. καὶ διὰ τοῦτο παλίντονος ἡ ἁρμονία καὶ τοξεύει* [fort. *π. ἡ. ἁ. ὥσπερ λύρας καὶ τόξου, εἰ*] *διὰ τῶν ἐναντίων*—Simplicius in Phys. fol. 11 *a* (ad fr. LVII cit.)—Conf. Philo Qu. in Gen. iii. 5, p. 178 Aucher.: sciendum est tamen, etiam partes mundi bipartitas esse et contra se invicem constitutas: terram in situm montanum et campestrem; aquam in dulcem et salsam: dulcem puta eam quam ministrant fontes et amnes, salsam vero marinam: sicut etiam aer in hiemem

---

LV. *τὴν γῆν* vulg.: *πληγῇ* Stobaei cod. A, quod coll. Plat. Criti. 109 B amplexus est Bergkius: pleniorem lectionem servare existimatur Apuleii cod. Flor. qui praebet: aMensaΠANTAeYePReΓωMOSSARRINAMePPeSSeT ONOSSAHYTI, in quibus alii alia vident: *νοῦς ἅπαντα εὐεργετῶν ὡς ἄν τινα μέρη σώματος ἀϊδίου* Vossius; *εἷς ἅπαντα διέρπων* (vel *διέπων*) *κόσμος κυβερνᾷ μεμερισμένος ἐς ἅπαντα* Bernays; *Ζεὺς ἅπαντα κυβερνᾷ, ὅκωσπερ νέμεται ἑρπετὸν πληγῇ* vel *Ζηνὸς ἅπαντα κυβερνᾶται γνώμῃ* (sive *νόῳ*) *ὅκωσπερ νέμεται ἑρπετὸν πληγῇ* Bergk; *Ζεὺς ἅπαντα εὐεργετεῖ ὁμῶς ὡς ἄν τινα μέρη σώματος αὐτοῦ* Goldbacher.

LVI. *π. ἁ. λύρης ὅκωσπερ τόξου* vel *π. ἁ. ὅκωσπερ τόξου* <*οὔτω*> *καὶ λύρης* voluisse Heraclitum conicit Bergkius ad Lyr. Graec. p. 792 ed. tert.

LVII.

Ἀγαθὸν καὶ κακὸν ταὐτόν.

LVIII.

Hippolytus Ref. haer. ix. 10: *καὶ ἀγαθὸν καὶ κακόν* (scil. *ἕν ἐστι*)· *οἱ γοῦν ἰατροί, φησὶν ὁ Ἡράκλειτος, τέμνοντες καίοντες πάντῃ βασανίζοντες κακῶς τοὺς ἀρρωστοῦντας ἐπαιτιῶνται μηδέν' ἄξιον μισθὸν λαμβάνειν παρὰ τῶν ἀρρωστούντων, ταῦτα ἐργαζόμενοι τὰ ἀγαθὰ καὶ † τὰς νόσους †.*

---

et aestatem, itidem in ver et autumnum. hinc Heraclitus libros conscripsit de natura, a theologo nostro mutuatus sententias de contrariis, additis immensis iisque laboriosis argumentis.

LVII. Aristoteles Top. viii. 5, p. 159 *b* 30: *διὸ καὶ οἱ κομίζοντες ἀλλοτρίας δόξας, οἷον ἀγαθὸν καὶ κακὸν εἶναι ταὐτόν, καθάπερ Ἡράκλειτός φησιν, οὐ διδόασι μὴ παρεῖναι ἅμα τῷ αὐτῷ τἀναντία, οὐχ ὡς οὐ δοκοῦν αὐτοῖς τοῦτο ἀλλ' ὅτι καθ' Ἡράκλειτον οὕτω λεκτέον*—Idem Phys. i. 2, p. 185 *b* 20: *ἀλλὰ μὴν εἰ τῷ λόγῳ ἓν τὰ ὄντα πάντα ὡς λώπιον καὶ ἱμάτιον, τὸν Ἡρακλείτου λόγον συμβαίνει λέγειν αὐτοῖς· ταὐτὸν γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ εἶναι καὶ μὴ ἀγαθῷ καὶ ἀγαθῷ, ὥστε ταὐτὸν ἔσται ἀγαθὸν καὶ οὐκ ἀγαθόν, καὶ ἄνθρωπος καὶ ἵππος, καὶ οὐ περὶ τοῦ ἓν εἶναι τὰ ὄντα ὁ λόγος ἔσται αὐτοῖς ἀλλὰ περὶ τοῦ μηδέν*—Hippolytus Ref. haer. ix. 10 (v. fr. LVIII)—Simplicius in Phys. fol. 11 *a*: *ἀντιλέγειν οὐ χρὴ . . . . πρὸς τοὺς παράδοξα καὶ ἀπεμφαίνοντα λέγοντας· τοιαῦται γὰρ αἱ θέσεις· ὡς Ἡράκλειτος τὸ ἀγαθὸν καὶ τὸ κακὸν εἰς ταὐτὸν λέγων συνιέναι, δίκην τόξου καὶ λύρας· ὃς καὶ ἐδόκει θέσιν λέγειν, διὰ τὸ οὕτως ἀδιορίστως φάναι· ἐνεδείκνυτο δὲ τὴν ἐν τῇ γενέσει ἐναρμόνιον μῖξιν τῶν ἐναντίων*—fol. 18 *a*: *πάντα ἀλλήλοις ταὐτὰ ἔσται· καὶ ὁ Ἡρακλείτου λόγος ἀληθής, ὁ λέγων τὸ ἀγαθὸν καὶ τὸ κακὸν ταὐτὸν εἶναι.*

LVIII. Conf. Xenophon Mem. i. 2, 54; Plato Gorg. 521 E, Polit. 293 B; Simplicius in Epictet. 13, p. 83 D et 27, p. 178 A ed. Heins.

LVIII. *ἐπαιτέονται* Bernays; sed conf. Plato de Rep. vi. 497 B ‖ *μηδένα* Sauppe: *μηδὲν* vulg., Bernays ‖ *ἄξιοι* Bernays ‖ *μισθὸν* Wordsworth: *μισθῶν* vulg., Bernays ‖ *ταὐτὰ* Sauppe ‖ *καὶ* <*τὰ κακὰ*> *τὰς νόσους* Sauppe *κατὰ τὰς νόσους* susp. Petersen: fort. *καὶ βασάνους* coll. Sext. Emp. adv. Math. xi. 159.—Vox *βασανίζοντες* hoc sensu posita seriorem redolet graecitatem; suspicor aliena Heracliteis esse admixta ipsumque Ephesium in hunc fere modum scripsisse: *ἰητροὶ τέμνοντες καίοντες κεντέοντες στρεβλοῦντες ἐπαιτιῶνται μηδέν' ἄξιον μισθὸν λαμβάνειν.*

LIX.

Συνάψειας οὖλα καὶ οὐχὶ οὖλα, συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον· ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.

LX.

Δίκης οὔνομα οὐκ ἂν ᾔδεσαν, εἰ ταῦτα μὴ ἦν.

LXI.

Schol. B. in Il. iv. 4, p. 120 Bekk.: ἀπρεπές φασιν, εἰ τέρπει τοὺς θεοὺς πολέμων θέα. ἀλλ' οὐκ ἀπρεπές· τὰ γὰρ γενναῖα ἔργα τέρπει. ἄλλως τε πόλεμοι καὶ μάχαι ἡμῖν μὲν δεινὰ δοκεῖ, τῷ δὲ θεῷ οὐδὲ ταῦτα δεινά. συντελεῖ γὰρ ἅπαντα ὁ θεὸς πρὸς

LIX. Aristoteles de Mundo 5, p. 396 *b* 12 (=Apuleius de Mundo 20; Stobaeus Ecl. i. 34, p. 690): ἔοικε δὲ καὶ ἡ τέχνη τὴν φύσιν μιμουμένη ταὐτὸ ποιεῖν. ζωγραφία μὲν γὰρ λευκῶν τε καὶ μελάνων ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων ἐγκερασαμένη φύσεις τὰς εἰκόνας τοῖς προηγουμένοις ἀπετέλεσε συμφώνους, μουσικὴ δὲ ὀξεῖς ἅμα καὶ βαρεῖς μακρούς τε καὶ βραχεῖς φθόγγους μίξασα ἐν διαφόροις φωναῖς μίαν ἀπετέλεσεν ἁρμονίαν, γραμματικὴ δὲ ἐκ φωνηέντων καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην ἀπ' αὐτῶν συνεστήσατο. ταὐτὸ δὲ τοῦτο ἦν καὶ τὸ παρὰ τῷ σκοτεινῷ λεγόμενον Ἡρακλείτῳ· Συνάψειας οὖλα καὶ οὐχὶ οὖλα, συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον· ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα—Conf. Apuleius de Mundo 21: sic totius mundi sua instantia [?] initiorum inter se impares conventus, pari nec discordante consensu natura veluti musicam temperavit: umidis arida et glacialibus flammida, velocibus pigra, directis obliqua confundit, unumque ex omnibus et ex uno omnia iuxta Heraclitum constituit (v. fr. L)—Respic. Hippocrates π. τροφῆς 40; π. διαίτης i. saepius.

LX. Clemens Alex. Strom. iv. 3, p. 568: καλῶς οὖν Ἡράκλειτος· Δίκης ὄνομα οὐκ ἂν ᾔδεσαν, εἰ ταῦτα μὴ ἦν· Σωκράτης δὲ νόμον ἕνεκα ἀγαθῶν οὐκ ἂν γενέσθαι—Conf. pseudo-Heraclitus Epist. vii: οἱ νόμοι ἀδικίας εἰσὶ τεκμήριον.

LXI. Respic. Hippocrates π. διαίτης i. 11.

LIX. συλλάψει εἰς Stobaei codd. V A: συνάψας Aristotelis cod. Q: συνάψιες codd. O R (latet idem in depravata lectione cod. F Apuleii) || ὅλα Aristotelis cod. P: Stobaei et Apuleii codd. || καὶ delet Zeller || οὐχ Stobaei et Apuleii codd. || καὶ ante διαφερόμενον et διᾷδον add. Aristotelis codd. plerique || καὶ ante ἐκ πάντων add. Aristotelis et Apuleii codd.

LX. ὄνομα vulg.

ἁρμονίαν τῶν ὅλων, οἰκονομῶν τὰ συμφέροντα, ὅπερ καὶ Ἡράκλειτος λέγει, ὡς τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν, ἃ δὲ δίκαια.

LXII.

Εἰδέναι χρὴ τὸν πόλεμον ἐόντα ξυνόν, καὶ δίκην ἔριν· καὶ γινόμενα πάντα κατ' ἔριν καὶ † χρεώμενα †.

LXIII.

Ἔστι γὰρ εἱμαρμένα πάντως * * * *.

LXIV.

Θάνατός ἐστι ὁκόσα ἐγερθέντες ὁρέομεν, ὁκόσα δὲ εὕδοντες ὕπνος.

LXII. Origenes cont. Cels. vi. 42, p. 312 (e Celso): θεῖόν τινα πόλεμον αἰνίττεσθαι τοὺς παλαιούς, Ἡράκλειτον μὲν λέγοντα ὧδε· Εἰ δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνὸν καὶ δίκην ἐρεῖν· καὶ γινόμενα πάντα κατ' ἔριν καὶ χρεώμενα—Respic. Plutarchus de Sol. animal. 7, p. 964: Ἐμπεδοκλῆς καὶ Ἡράκλειτος . . . . πολλάκις ὀδυρόμενοι καὶ λοιδοροῦντες τὴν φύσιν ὡς ἀνάγκην καὶ πόλεμον οὖσαν, ἀμιγὲς δὲ μηδὲν μηδ' εἰλικρινὲς ἔχουσαν, ἀλλὰ διὰ πολλῶν κἀδίκων παθῶν περαινομένην· ὅπου καὶ τὴν γένεσιν αὐτὴν ἐξ ἀδικίας συντυγχάνειν λέγουσι, τῷ θνητῷ συνερχομένου τοῦ ἀθανάτου, καὶ τέρπεσθαι τὸ γενόμενον παρὰ φύσιν μέλεσι τοῦ γεννήσαντος ἀποσπωμένοις (Emped. v. 142 et 369 Stein.)—Diogenes Laert. ix. 8: τῶν δ' ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον καλεῖσθαι πόλεμον καὶ ἔριν, τὸ δ' ἐπὶ τὴν ἐκπύρωσιν ὁμολογίαν καὶ εἰρήνην.

LXIII. Stobaeus Ecl. i. 5, p. 178: Ἡράκλειτος οὐσίαν εἱμαρμένης ἀπεφήνατο λόγον τὸν διὰ οὐσίας <τῆς> τοῦ παντὸς διήκοντα· αὕτη δ' ἐστὶ τὸ αἰθέριον σῶμα, σπέρμα τῆς τοῦ παντὸς γενέσεως· καὶ περιόδου μέτρον τεταγμένης. πάντα δὲ καθ' εἱμαρμένην, τὴν δ' αὐτὴν ὑπάρχειν καὶ ἀνάγκην· γράφει γοῦν· Ἔστι γὰρ εἱμαρμένη πάντως (cetera desiderantur).

LXIV. Clemens Alex. Strom. iii. 3, p. 520: οὐχὶ καὶ Ἡράκλειτος θάνατον τὴν γένεσιν καλεῖ, Πυθαγόρᾳ τε καὶ τῷ ἐν Γοργίᾳ Σωκράτει ἐμφερῶς,

---

LXII. εἰδέναι Schleiermacher: εἰ δὲ vulg. || δίκην ἔριν Schleiermacher: δίκην ἐρεῖν vulg. || καταχρεώμενα Schuster: φθειρόμενα Mullach: fort. κρινόμενα coll. Trag. fr. adesp. 429 Nauck.: χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.

LXIII. εἱμαρμένα Stobaei cod. A: εἱμαρμένη vulg.

LXV.

Ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς οὔνομα.

LXVI.

Τοῦ βιοῦ οὔνομα βίος, ἔργον δὲ θάνατος.

LXVII.

Ἀθάνατοι θνητοί, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον τὸν δὲ ἐκείνων βίον τεθνεῶτες.

ἐν οἷς φησι· Θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομεν, ὁκόσα δὲ εὕδοντες ὕπνος;—Respic. fort. Clemens Alex. Strom. v. 14, p. 712: τὴν ἐνταῦθα ἡμέραν νυκτερινὴν κέκληκεν . . . . ὕπνον δὲ καὶ θάνατον τὴν εἰς σῶμα κάθοδον τῆς ψυχῆς κατὰ ταὐτὰ τῷ Ἡρακλείτῳ—Conf. Philo de Ioseph. 22, p. 59.

LXV. Clemens Alex. Strom. v. 14, p. 718 (=Euseb. P.E. xiii. 13, p. 681): οἶδα ἐγὼ καὶ Πλάτωνα προσμαρτυροῦντα Ἡρακλείτῳ γράφοντι· Ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα. καὶ πάλιν· Νόμος καὶ βουλῇ πείθεσθαι ἑνός (=fr. CX).

LXVI. Schol. in Il. i. 49, ap. Cramer. A. P. iii. p. 122 (conf. p. 320 et Matrangae A. G. p. 391): . . . βιός ὀξυτόνως διὰ τὴν πρὸς τὸν βίον ἀντιδιαστολήν. ἔοικε γὰρ ὑπὸ τῶν ἀρχαίων ὁμωνύμως λέγεσθαι βιός τὸ τόξον καὶ ἡ ζωή· Ἡράκλειτος γοῦν ὁ σκοτεινός· Τῷ οὖν τόξῳ ὄνομα [μὲν add. p. 320] βίος, ἔργον δὲ θάνατος—Etymol. magn. s. v. βιός—Tzetzes Exeg. in Il. p. 101 Herm.: ὅτι δὲ βίος ἐλέγετο καὶ αὐτό, φησὶν Ἡράκλειτος ὁ σκοτεινός· Τῷ δὲ τόξῳ ὄνομα βίος, ἔργον δὲ θάνατος—Eustathius in Il. i. 49, p. 41: διὸ καὶ ἀστείως ὁ σκοτεινὸς Ἡράκλειτος ἔφη, ὡς ἄρα τοῦ βιοῦ, ἤτοι τοῦ τόξου, τὸ μὲν ὄνομα βίος, τὸ δὲ ἔργον θάνατος. παρωνόμασται μὲν γὰρ ἐκ τοῦ βιοῦ, ὡς τοῦ ζῆν αἴτιος, θανατοῖ δὲ τοὺς βληθέντας καὶ στερίσκει τοῦ ζῆν—Conf. Hippocrates π. τροφῆς 21: οὔνομα τροφή, ἔργον δὲ οὐχί.

LXVII. Philo Leg. alleg. i. 33, p. 65: εὖ καὶ ὁ Ἡράκλειτος κατὰ τοῦτο Μωυσέως ἀκολουθήσας τῷ δόγματι· φησὶ γάρ· Ζῶμεν τὸν ἐκείνων θάνατον τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον, ὡς νῦν μέν, ὅτε ἐνζῶμεν, τεθνηκυίας τῆς ψυχῆς καὶ ὡς ἂν ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης κτέ—Idem Qu. in Gen. iv. 152, p. 360 Aucher.: Heraclitus furtim a Moyse dempta lege et sententia dixit: Vivimus eorum morte et mortui

---

LXV. ἐθέλει καὶ οὐκ ἐθέλει Bernays M. Rh. ix. p. 256 || post μοῦνον colon inserit Schuster || οὔνομα Eusebii cod. D: ὄνομα vulg.: οὐνόματι Mullach.

LXVI. v. Valckenaer ad Eurip. Phoen. 1168; Lobeck Aglaoph. p. 870.

LXVIII.

Ψυχῇσι γὰρ θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι· ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή.

---

sumus eorum vita; sub aenigmate notans corporis vitam mortem esse animae, mortem autem dictam vitam felicissimam ac primam animae—Maximus Tyr. x. 4, p. 107: σκόπει καὶ τὸν Ἡράκλειτον· Θεοὶ θνητοί, ἄνθρωποι ἀθάνατοι—Idem xli. 4, p. 489: μεταβολὴν ὁρᾷς σωμάτων καὶ γενέσεως ἀλλαγήν, ὁδὸν ἄνω καὶ κάτω, κατὰ τὸν Ἡράκλειτον· καὶ αὖθις αὖ ζῶντας μὲν τὸν ἐκείνων θάνατον, ἀποθνήσκοντας δὲ τὴν ἐκείνων ζωήν—Numenius ap. Porphyr. de Antro nymph. 10: καὶ ἀλλαχοῦ δὲ φάναι· Ζῆν ἡμᾶς τὸν ἐκείνων θάνατον καὶ ζῆν ἐκείνας τὸν ἡμέτερον θάνατον—Clemens Alex. Paed. iii. 1, p. 251: ὀρθῶς ἄρα εἶπεν Ἡράκλειτος· Ἄνθρωποι θεοί, θεοὶ ἄνθρωποι. λόγος γὰρ ὁ αὐτὸς [ὡὐτὸς vulg. corr. Bernays] μυστήριον ἐμφανές· θεὸς ἐν ἀνθρώπῳ καὶ ὁ ἄνθρωπος θεός—Hippolytus Ref. haer. ix. 10: λέγει δὲ ὁμολογουμένως τὸ ἀθάνατον εἶναι θνητὸν καὶ τὸ θνητὸν ἀθάνατον διὰ τῶν τοιούτων λόγων· Ἀθάνατοι θνητοί, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον τὸν δὲ ἐκείνων βίον τεθνεῶτες—Hierocles in Aur. carm. 24: ἔνθεν καὶ λέγεται ὀρθῶς ὑπὸ Ἡρακλείτου ὅτι ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον—Heraclitus Alleg. Hom. 24, p. 51 Mehler.: ὁ γοῦν σκοτεινὸς Ἡράκλειτος ἀσαφῆ καὶ διὰ συμβόλων εἰκάζεσθαι δυνάμενα θεολογεῖ τὰ φυσικὰ δι' ὧν φησί· Θεοὶ θνητοί τ' ἄνθρωποι ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν· καὶ πάλιν· Ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμεν. ὅλον τε τὸ περὶ φύσεως αἰνιγματώδως ἀλληγορεῖ—Respic. Lucianus Vit. auct. 14; Dio Cassius frr. i—xxxv, c. 30, t. i. p. 40 Dind.: εἰ γὰρ δεῖ δή τι καὶ θρασυνόμενον εἰπεῖν, οὔτ' ἄνθρωπος οὐδὲν ἄλλο ἐστὶν ἢ θεὸς σῶμα θνητὸν ἔχων, οὔτε θεὸς ἄλλο τι ἢ ἄνθρωπος ἀσώματος καὶ διὰ τοῦτο καὶ ἀθάνατος—Hermes ap. Stob. Ecl. i. 39, p. 768: διὸ τολμητέον εἰπεῖν τὸν μὲν ἄνθρωπον ἐπίγειον εἶναι θνητὸν θεόν, τὸν δ' ἐν οὐρανῷ θεὸν ἀθάνατον ἄνθρωπον—Idem Poemand. 12, p. 100 Parthey.: ὁ ἀγαθὸς δαίμων τοὺς μὲν θεοὺς εἶπεν ἀθανάτους ἀνθρώπους, τοὺς δὲ ἀνθρώπους θεοὺς θνητούς.

LXVIII. Philo de Incorr. mundi 21, p. 509: εὖ καὶ ὁ Ἡράκλειτος ἐν οἷς φησι· Ψυχῆς θάνατον ὕδωρ γενέσθαι, ὕδατος θάνατον γῆν γενέσθαι. ψυχὴν γὰρ οἰόμενος εἶναι τὸ πνεῦμα, τὴν μὲν ἀέρος τελευτὴν γένεσιν ὕδατος, τὴν δὲ ὕδατος γῆς πάλιν γένεσιν αἰνίττεται· θάνατον οὐ τὴν εἰσάπαν ἀναίρεσιν ὀνομάζων ἀλλὰ τὴν εἰς ἕτερον στοιχεῖον μεταβολήν—Aristides Quintil. ii, p. 106 Meib. (ad fr. LXXIV cit.)—Clemens Alex. Strom. vi. 2, p. 746: Ὀρφέως δὲ ποιήσαντος· Ἔστιν ὕδωρ ψυχῇ θάνατος <ψυχὴ>

LXIX.

Ὁδὸς ἄνω κάτω μία καὶ ὡυτή.

δ' ὑδάτεσσιν [ἀμοιβή]· ἐκ δ' ὕδατος μὲν γαῖα, τὸ δ' ἐκ γαίης πάλιν ὕδωρ· ἐκ τοῦ δὲ ψυχὴ ὅλον αἰθέρ' ἀναΐσσουσα [αἰθέρα ἀλλάσσουσα vulg.]· Ἡράκλειτος ἐκ τούτων συνιστάμενος τοὺς λόγους ὧδέ πως γράφει· Ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή—Hippolytus Ref. haer. v. 16: οὐ μόνον δὲ τοῦτο, φησίν, οἱ ποιηταὶ λέγουσιν, ἀλλ' ἤδη καὶ οἱ σοφώτατοι τῶν Ἑλλήνων, ὧν ἐστι καὶ Ἡράκλειτος εἷς λέγων· Ψυχῇσι γὰρ θάνατον ὕδωρ γενέσθαι—Iulianus Or. v, p. 165 D: λέγεταί τοι καὶ πρὸς Ἡρακλείτου· Ψυχῇσι θάνατος ὑγρῇσι γενέσθαι—Proclus in Tim. p. 36 C: ψυχῶν τῶν νοερῶν θάνατος ὑγρῇσι γενέσθαι, φησὶν Ἡράκλειτος—Olympiodorus in Plat. Gorg. p. 357 Iahn.: ὡς γὰρ ἔφη ὁ Ἡράκλειτος, ψυχῆς ἐστι θάνατος ἡ ὑγρασία (marg. ση. τὸν Ἡρακλείτου περὶ ψυχῆς λόγον· Ψυχῇσι θάνατος ὑγρῇσι γενέσθαι)—Idem p. 542: τὴν γένεσιν ὑγρὰν καλοῦσιν οἱ παλαιοί· οὕτω γοῦν καὶ λέγεται περὶ τῆς ψυχῆς· Ψυχῇσι βροτέαις θάνατος ὑγρῇσι γενέσθαι, διὰ τὸ ῥευστὸν καὶ ὑγρηλόν (marg. τὸν λόγον Ἡρακλείτου φασίν).

LXIX. Cleomedes π. μετεώρων i, p. 75 Bak.: οὐδ' ἂν ἐξαναλωθείη (scil. γῆ) τούτου ἕνεκα, ἐν μέρει καὶ αὐτὴ ἀντιλαμβάνουσά τινα ἔκ τε ἀέρος καὶ ἐξ οὐρανοῦ· ὁδὸς γὰρ ἄνω κάτω, φησὶν ὁ Ἡράκλειτος, <μία> δι' ὅλης οὐσίας τρέπεσθαι καὶ μεταβάλλειν πεφυκυίας—Maximus Tyr. xli. 4, p. 489 (ad fr. LXVII cit.)—Tertullianus adv. Marc. ii. 28: si ignoravit deus meus esse alium super se, etiam tuus omnino non scivit esse alium infra se: quod enim ait Heraclitus ille tenebrosus: Eadem via sursum et deorsum—Hippolytus Ref. haer. ix. 10: καὶ τὸ ἄνω καὶ τὸ κάτω ἕν ἐστι καὶ τὸ αὐτό· Ὁδὸς ἄνω κάτω μία καὶ ὡυτή—Diogenes Laert. ix. 8: τὴν μεταβολὴν ὁδόν ἄνω κάτω κτέ—Plotinus Enn. iv. 8, p. 468; Iamblichus ap. Stob. Ecl. i. 41; (v. ad fr. LXXXIII)—Respic. Hippocrates περὶ τροφῆς 45: ὁδὸς ἄνω κάτω μία—Philo de Incorr. mundi 21, p. 508: τὰ στοιχεῖα . . . . . τὴν αὐτὴν ὁδὸν ἄνω καὶ κάτω συνεχῶς ἀμείβοντα—Idem de Somn. i. 24, p. 644: καὶ ὁδός τις ἥδ' ἐστὶν ἄνω καὶ κάτω τῶν ἀνθρωπίνων πραγμάτων—Idem de vit. Moys. i. 6, p. 85: τύχης γὰρ ἀσταθμητότερον οὐδέν, ἄνω καὶ κάτω τὰ ἀνθρώπεια πεττευούσης—Musonius ap. Stob. Floril. cviii. 60 (ad fr. XX cit.)—M. Antoninus vi. 17: ἄνω κάτω, κύκλῳ, φοραὶ τῶν στοιχείων.

LXIX. μίη edd.: v. tamen Bredov. de dial. Herodot. p. 131. ‖ ὡυτή?

LXX.

Ξυνὸν ἀρχὴ καὶ πέρας.

LXXI.

Ψυχῆς πείρατα οὐκ ἂν ἐξεύροιο πᾶσαν ἐπιπορευόμενος ὁδόν.

LXXII.

Ψυχῇσι τέρψις ὑγρῇσι γενέσθαι.

LXXIII.

Ἀνὴρ ὁκότ' ἂν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων.

LXX. Porphyrius ap. Schol. B. Il. xiv. 200, p. 392 Bekk.: δύο γὰρ ὄντων περάτων τὸ μέν ἐστιν ἀρχὴ ἀφ' οὗ, τὸ δὲ τέλος εἰς ὅ· ἔστι γὰρ ἐπ' αὐτοῖς τὸ πόθεν ποῖ· τῆς δὲ ὅλης τοῦ κύκλου περιφερείας οὐκέτι ἐστί. πᾶν γὰρ ὃ ἄν τις ἐπινοήσῃ σημεῖον ἀρχή τε καὶ πέρας· ξυνὸν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας, κατὰ τὸν Ἡράκλειτον—Respic. fort. Hippocrates π. τόπων τῶν κατ' ἄνθρωπον 1; π. διαίτης i. 19; π. τροφῆς 9; Philo Leg. alleg. i. 3, p. 44; Plutarchus de EI 8, p. 388.

LXXI. Diogenes Laertius ix. 7: λέγει δὲ καί· Ψυχῆς πείρατα οὐκ ἂν ἐξεύροιο πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει. τήν τε οἴησιν ἱερὰν νόσον (Epicuri fortasse sententia) ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι (conf. fr. IV)—Tertullianus de Anima 2: tanta operositas suadendi ut merito Heraclitus ille tenebrosus vastiores caligines animadvertens apud examinatores animae taedio quaestionum pronuntiarit: Terminos animae nequaquam invenies [*inveniens* ed. princeps: *invenisse* vulg.] omnem viam ingrediendo—Conf. Hippolytus Ref. haer. v. 7: εἶναι δέ φασι (scil. Naasseni) τὴν ψυχὴν δυσεύρετον πάνυ καὶ δυσκατανόητον· οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς—Sextus Enchir. 386: animae sapientis magnitudinem non invenies, sicut nec dei quidem.

LXXII. Numenius ap. Porphyr. de Antro nymph. 10: ὅθεν καὶ Ἡράκλειτον [Ἡράκλειτος vulg.], Ψυχῇσι, φάναι, τέρψιν, μὴ θάνατον, ὑγρῇσι γενέσθαι· τέρψιν δὲ εἶναι αὐταῖς τὴν εἰς τὴν γένεσιν πτῶσιν. καὶ ἀλλαχοῦ δὲ φάναι· Ζῆν ἡμᾶς τὸν ἐκείνων θάνατον, καὶ ζῆν ἐκείνας τὸν ἡμέτερον θάνατον (=fr. LXVII).

LXXIII. Stobaeus Floril. v. 120—Respic. fort. M. Antoninus iv. 46: μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ᾗ ἡ ὁδὸς ἄγει.

LXXI. v. Append. I.

LXXIV.

Αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστη.

LXXV.

† Αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη. †

LXXIV. Plutarchus Romul. 28: *αὕτη γὰρ ψυχὴ ξηρὴ ἀρίστη, καθ' Ἡράκλειτον, ὥσπερ ἀστραπὴ νέφους διαπταμένη τοῦ σώματος* (=fr. 63 Schleiermacher.)—Aristides Quintil. ii, p. 106: *λέγει δέ πού τοι καὶ ὁ σοφὸς Ἡράκλειτος τοιάδε οὐκ ἀπᾴδων· τὴν μὲν γὰρ εὖ παθοῦσαν ἐν αἰθέρι δηλῶν φησιν· Αὔη ξηρὴ σοφωτάτη. τὴν δ' ὑπὸ τῆς ἀερίου ζάλης τε καὶ ἀναθυμιάσεως θολουμένην ἐμφαίνει λέγων· Ψυχὴν θανάτου ὑγρῇσι γενέσθαι* (v. Meibom. ad loc.)—Porphyrius de Antro nymph. 11: *αὐτὸς δέ φησιν Ἡράκλειτος· Ξηρὰ ψυχὴ σοφωτάτη. διὸ κἀνταῦθα κατὰ τὰς τῆς μίξεως ἐπιθυμίας δίυγρον καὶ νοτερώτερον γίγνεσθαι τὸ πνεῦμα, ἀτμὸν ἐφελκομένης δίυγρον τῆς ψυχῆς ἐκ τῆς πρὸς γένεσιν νεύσεως*—Synesius de Insomn. p. 140 A Petav.: *καὶ τοῦτο ἄρα ἡ ψυχῆς πτέρωσις, τό τε αὖ· ξηρὴ ψυχὴ σοφή, πρὸς οὐδὲν ἄλλο τῷ Ἡρακλείτῳ τεῖνον εὑρίσκομεν*—Stobaeus Floril. v. 120 (post fr. LXXIII): *αὔη ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη*—Glycas Ann. i, p. 74 B (conf. 116 A): *ἐφ' ᾧ καί τις σοφός, ᾧ ὄνομα Ἡράκλειτος, ἔλεγε· Ψυχὴ ξηροτέρη σοφωτέρη, ψυχὴν ἐνταῦθα τὴν τοῦ ἐγκεφάλου καλέσας οὐσίαν*—Respic. Clemens Alex. Paedag. ii. 2, p. 184: *οὕτω δ' ἂν καὶ ἡ ψυχὴ ἡμῶν ὑπάρξαι καθαρὰ καὶ ξηρὰ καὶ φωτοειδής, αὐγὴ δὲ ψυχὴ ξηρὰ σοφωτάτη καὶ ἀρίστη· ταύτῃ δὲ καὶ ἐποπτική, οὐδέ ἐστιν κάθυγρος ταῖς ἐκ τοῦ οἴνου ἀναθυμιάσεσιν νεφέλης δίκην σωματοποιουμένη* (v. Muson. ad LXXV cit.)—Eustath. in Il. xxiii. 261, p. 1299, 17 ed. Rom.: *μὴ λεπτοὺς τὸν νοῦν καὶ ὀξεῖς μηδὲ οἵους ἀρέσκειν τῷ εἰπόντι ὅτι ξηρὴ ψυχὴ συφωτάτη.*

LXXV. Philo ap. Euseb. P. E. viii. 14, p. 399 (ad fr. LXXVI cit.)—Musonius ap. Stob. Floril. xvii. 43: *οὕτω δ' ἂν καὶ τὴν ψυχὴν ἡμῶν ὑπάρχειν καθαράν τε καὶ ξηράν, ὁποία οὖσα ἀρίστη καὶ σοφωτάτη εἴη ἄν, καθάπερ Ἡρακλείτῳ δοκεῖ λέγοντι οὕτως· Αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη*—Plutarchus de Esu carn. i. 6, p. 995: *αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη κατὰ τὸν Ἡράκλειτον ἔοικεν*—Idem de Def. orac. 41, p. 432:

LXXIV. Hanc dicti formam habet iam ed. Trincavelliana Stobaei.

LXXV. 'Genuina scriptura esse videtur *αὔη ψυχὴ σοφωτάτη*, ut ex Stobaeo attuli supra. Ac suspicor illud *αὐγῇ* irrepsisse pro *αὔη*: quod aliquis exposuerit illa voce *ξηρή*, unde orta sit illa lectio.' Stephanus Poes. phil. p. 139.

LXXVI.

† Οὗ γῆ ξηρή, ψυχὴ σοφωτάτη καὶ ἀρίστη. †

LXXVII.

Ἄνθρωπος, ὅκως ἐν εὐφρόνῃ φάος, ἅπτεται ἀποσβέννυται.

ἅμα δὲ ἄν τις οὐκ ἀλόγως καὶ ξηρότητα φαίη μετὰ τῆς θερμότητος ἐγγινομένην λεπτύνειν τὸ πνεῦμα καὶ ποιεῖν αἰθερῶδες καὶ καθαρόν· αὕτη γὰρ ξηρὰ ψυχὴ καθ' Ἡράκλειτον—Galenus *π. τῶν τῆς ψυχῆς ἠθῶν* 5, t. i. p. 346 ed. Bas.: *ἀλλ' εἰ καὶ ξηρότητα μὴ ξυγχωρήσαιεν αἰτίαν εἶναι συνέσεως, οἵ γε μὴν ἀφ' Ἡρακλείτου. καὶ γὰρ οὗτος οὕτως εἶπεν· Αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη, τὴν ξηρότητα πάλιν ἀξιῶν εἶναι συνέσεως αἰτίαν· τὸ γὰρ τῆς αὐγῆς ὄνομα τοῦτ' ἐνδείκνυται, καὶ βελτίονά γε δόξαν ταύτην εἶναι νομιστέον ἐννοήσαντας καὶ τοὺς ἀστέρας αὐγοειδεῖς τε ἅμα καὶ ξηροὺς ὄντας ἄκραν σύνεσιν ἔχειν* (v. Cobet Λογ. Ἑρμ. p. 190)—Hermeias in Plat. Phaedr. p. 73 Ast.: *ἐπιτήδειον δὲ καὶ τὸ θέρος καὶ ἡ μεσημβρία πρὸς ἀναγωγὴν καὶ κατὰ τὸν Ἡράκλειτον ὅς φησιν· Αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη*—Respic. Porphyrius *ἀφορμ. πρὸς τὰ νοητά* 33, p. 78 Holst. (p. 233 Cantab.): *ὅταν δὲ μελετήσῃ ἀφίστασθαι φύσεως, αὐγὴ ξηρὰ γίνεται, ἄσκιος καὶ ἀνέφελος*—Conf. * Ficinus de Immort. anim. viii. 13: ut placet Orphicis et Heraclito, lumen nihil aliud est nisi visibilis anima, ... anima vero lux invisibilis. *Bernays.*

LXXVI. Philo ap. Euseb. P. E. viii. 14, p. 399: *μόνη γὰρ ἡ Ἑλλὰς ἀψευδῶς ἀνθρωπογονεῖ, φυτὸν οὐράνιον καὶ βλάστημα θεῖον ἠκριβωμένον λογισμὸν ἀποτίκτουσα οἰκειούμενον ἐπιστήμῃ· τὸ δ' αἴτιον· λεπτότητι ἀέρος ἡ διάνοια πέφυκεν ἀκονᾶσθαι. διὸ καὶ Ἡράκλειτος οὐκ ἀπὸ σκοποῦ φησιν· Αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη*—Idem de Provid. ii. 109, p. 117 Aucher.: quamobrem etiam Heraclitus non gratis atque inconsulto dixit: In terra sicca animus est sapiens ac virtutis amans.

LXXVII. Clemens Alex. Strom. iv. 22, p. 628: *ὅσα δ' αὖ περὶ ὕπνου λέγουσι τὰ αὐτὰ χρὴ καὶ περὶ θανάτου ἐξακούειν· ἑκάτερος γὰρ δηλοῖ τὴν ἀπόστασιν τῆς ψυχῆς ὁ μὲν μᾶλλον ὁ δὲ ἧττον· ὅπερ ἐστὶ καὶ παρὰ Ἡρακλείτου λαβεῖν· Ἄνθρωπος <ὅπως> ἐν εὐφρόνῃ φάος ἅπτεται, ὡσαύτως* [vulg. *ἑαυτῷ*] *ἀποθανὼν ἀποσβεσθείς* [*ὄψεις*]. *ζῶν δὲ ἅπτεται τεθνεῶτος εὕδων,* [*ἀποσβεσθεὶς*] *ὄψεις ἐγρηγορὼς ἅπτεται εὕδοντος* [ita

---

LXXVI. *οὗ γῆ* ed. Stephan.: *αὐγῇ* vel *αὐγὴ* Gaisfordii codd. omnes.

LXXVII. *εὐφροσύνῃ* cod. corr. Sylburg || *ἅπτει* Schleiermacher: Schuster ita Heraclitum loqui potuisse credit: *ἄνθρωπος ἐν εὐφρόνῃ φάος ἅπτει ἑαυτῷ, ἀποθανὼν ἀποσβεσθείς. ζῶν δὲ ἅπτεται τεθνεῶτος εὕδων, ἀποσβεσθεὶς ὄψεις· ἐγρηγορὼς ἅπτεται εὕδοντος.* Plura huiusmodi vide ap. Potterum.

LXXVIII.

Plutarchus Consol. ad Apoll. 10, p. 106: *πότε γὰρ ἐν ἡμῖν αὐτοῖς οὐκ ἔστιν ὁ θάνατος; καὶ ᾗ φησιν Ἡράκλειτος, ταὔτ' εἶναι ζῶν καὶ τεθνηκός, καὶ τὸ ἐγρηγορὸς καὶ τὸ καθεῦδον, καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα.*

---

correxi locum in Diar. Philol. Cantab. iv. p. 212: extrema apud Clementem paraphrasis esse videntur eorum quae Plutarchus quoque ante oculos habuit; v. fr. LXXVIII]—Respic. fort. Sextus Emp. adv. Math. vii. 130 (unde sua hausit Apollonius Epist. 18) —Conf. Seneca Epist. 54: rogo, non stultissimum dicas, si quis existimet lucernae peius esse cum exstincta est quam antequam accenditur? nos quoque et exstinguimur et accendimur.

LXXVIII. Heracliteum quendam colorem habent etiam ea quae sequuntur ap. Plut. l.l.: *ὡς γὰρ ἐκ τοῦ αὐτοῦ πηλοῦ δύναταί τις πλάττων ζῷα συγχεῖν, καὶ πάλιν πλάττειν καὶ συγχεῖν, καὶ τοῦτο ἓν παρ' ἓν ποιεῖν ἀδιαλείπτως· οὕτω καὶ ἡ φύσις ἐκ τῆς αὐτῆς ὕλης πάλαι μὲν τοὺς προγόνους ἡμῶν ἀνέσχεν, εἶτα συγχέασ' αὐτοὺς* [*συνεχεῖς αὐτοῖς* vulg. corr. Sauppius] *ἐγέννησε τοὺς πατέρας, εἶτα ἡμᾶς, εἶτ' ἄλλους ἐπ' ἄλλοις ἀνακυκλήσει. καὶ ὁ τῆς γενέσεως ποταμὸς οὗτος ἐνδελεχῶς ῥέων οὔποτε στήσεται, καὶ πάλιν ἐξ ἐναντίας αὐτῷ ὁ τῆς φθορᾶς εἴτε Ἀχέρων εἴτε Κωκυτὸς καλούμενος ὑπὸ τῶν ποιητῶν. ἡ πρώτη οὖν αἰτία ἡ δείξασα ἡμῖν τὸ τοῦ ἡλίου φῶς, ἡ αὐτὴ καὶ τὸν ζοφερὸν ᾅδην ἄγει. καὶ μήποτε τοῦδε εἰκὼν ᾖ ὁ περὶ ἡμᾶς ἀήρ, ἓν παρ' ἓν ἡμέραν καὶ νύκτα ποιῶν, ἐπαγωγὰς* [*περιαγωγὰς*?] *ζωῆς τε καὶ θανάτου καὶ ὕπνου καὶ ἐγρηγόρσεως*—Respic. Plutarchus de EI 18, p. 392 (=Euseb. P. E. xi. 11, p. 528): *ἡμεῖς ἕνα φοβούμεθα γελοίως θάνατον ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες. οὐ γὰρ μόνον, ὡς Ἡράκλειτος ἔφη, πυρὸς θάνατος ἀέρι γένεσις καὶ ἀέρι θάνατος ὕδατι γένεσις, ἀλλ' ἔτι σαφέστερον ἐπ' αὐτῶν* <*ἡμῶν*> *ἴδοις ἄν. φθείρεται μὲν ἀκμάζων γινομένου γέροντος, ἐφθάρη δ' ὁ νέος εἰς τὸν ἀκμάζοντα, καὶ ὁ παῖς εἰς τὸν νέον, εἰς δὲ τὸν παῖδα τὸ νήπιον· ὁ δὲ χθὲς εἰς τὸν σήμερον τέθνηκεν, ὁ δὲ σήμερον εἰς τὸν αὔριον* (multa hic latere ex Heracliteo fonte hausta docet Bernaysius M. Rh. vii. p. 100: conf. Scythinus in Append. nostra cit.)—Clemens Alex. Strom. iv. 22, p. 628 (ad fr. LXXVII cit.)—Sextus Emp. Pyrrh. hyp. iii. 230: *ὁ δὲ Ἡράκλειτός φησιν ὅτι καὶ τὸ ζῆν καὶ τὸ ἀποθανεῖν καὶ ἐν τῷ ζῆν ἡμᾶς*

LXXVIII. *ταὐτό τ' ἔνι* vulg.: *ταὐτό τ' ἐστὶ* Schleiermacher: *ταὐτῷ τ' ἔνι* Bernays: *ταὐτὸ τὸ* Zeller.

LXXIX.

Αἰὼν παῖς ἐστι παίζων πεσσεύων· παιδὸς ἡ βασιληίη.

LXXX.

Ἐδιζησάμην ἐμεωυτόν.

ἐστι καὶ ἐν τῷ τεθνάναι· ὅτε μὲν γὰρ ἡμεῖς ζῶμεν τὰς ψυχὰς ἡμῶν τεθνάναι καὶ ἐν ἡμῖν τεθάφθαι, ὅτε δὲ ἡμεῖς ἀποθνήσκομεν, τὰς ψυχὰς ἀναβιοῦν καὶ ζῆν (=fr. 50 Schl.: sed v. Philo ad LXVII cit.)—Tzetzes Chil. ii. 722: *καὶ κατὰ τὸν Δημόκριτον αὐτὸν σὺν Ἡρακλείτῳ ἅμα δακρύων καὶ γελῶν τὸ ἄστατον τοῦ βίου, ἐλέχθη θνήσκειν τε καὶ ζῆν ἦμαρ ἀεὶ παρ' ἦμαρ.*

LXXIX. Clemens Alex. Paedag. i. 5, p. 111: *τοιαύτην τινὰ παίζειν παιδιὰν τὸν ἑαυτοῦ Δία Ἡράκλειτος λέγει*—Hippolytus Ref. haer. ix. 9: *ὅτι δέ ἐστι παῖς τὸ πᾶν καὶ δι' αἰῶνος αἰώνιος βασιλεὺς τῶν ὅλων οὕτως λέγει· Αἰὼν παῖς ἐστὶ παίζων πεττεύων· παιδὸς ἡ βασιληίη*—Iamblichus ap. Stob. Ecl. ii. 1, p. 12: *πόσῳ δὴ οὖν βέλτιον Ἡράκλειτος παίδων ἀθύρματα νενόμικεν εἶναι τὰ ἀνθρώπινα δοξάσματα*; (quem locum seorsum ponendum et in fragmentorum serie numerandum censet *Bernaysius*, coll. Plat. Legg. i. 644 D, vii. 803 C)—Proclus in Tim. 101 F: *ἄλλοι δὲ καὶ τὸν δημιουργὸν ἐν τῷ κοσμουργεῖν παίζειν εἰρήκασι, καθάπερ Ἡράκλειτος*—Respic. Lucianus Vit. auct. 14 (v. Append. nostr.); et fort. Plato Legg. x. 903 D; Philo de vit. Moys. i. 6, p. 85 (ad fr. LXIX cit.); Plutarchus de EI 21, p. 393; Gregorius Naz. Carm. ii. 85, p. 978 ed. Bened., aliique.

LXXX. Plutarchus adv. Colot. 20, p. 1118: *ἐν οἷς δὲ κομιδῇ διαγελᾷ καὶ φλαυρίζει τὸν Σωκράτην ζητοῦντα τί ἄνθρωπός ἐστι καὶ νεανιευόμενον, ὥς φησιν, ὅτι μηδ' αὐτὸς εἰδείη, δῆλος μέν ἐστιν αὐτὸς οὐδέποτε πρὸς τούτῳ γενόμενος. ὁ δὲ Ἡράκλειτος, ὡς μέγα τι καὶ σεμνὸν διαπεπραγμένος, Ἐδιζησάμην, φησίν, ἐμεωυτόν· καὶ τῶν ἐν Δελφοῖς γραμμάτων θειότατον ἐδόκει τὸ Γνῶθι σαυτόν*—Dio Chrysost. Or. 55, p. 282 Reiske: *Ἡράκλειτος δὲ ἔτι γενναιότερον αὐτὸς ἐξευρεῖν τὴν τοῦ παντὸς φύσιν ὁποία τυγχάνει οὖσα μηδενὸς διδάξαντος καὶ γενέσθαι παρ' αὐτοῦ σοφός*—Tatianus Or. ad Graec. 3: *τὸν γὰρ Ἡράκλειτον οὐκ ἂν ἀποδεξαίμην, Ἐμαυτὸν ἐδιδαξάμην, εἰπόντα διὰ τὸ αὐτοδίδακτον εἶναι καὶ ὑπερήφανον*—Diogenes Laert. ix. 5: *ἤκουσέ τ' οὐδενός, ἀλλ' αὑτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑωυτοῦ* —Plotinus Enn. iv. 8, p. 468 (ad fr. LXXXIII cit.)—Iulianus Or. vi, p. 185 A: *οὐκοῦν ὁ μὲν ἐν Δελφοῖς θεὸς τὸ Γνῶθι σαυτὸν προαγορεύει, Ἡράκλειτος δὲ Ἐδιζησάμην ἐμεωυτόν*—Proclus in Tim. 106 E: *Ἡράκλειτος μὲν ἑαυτὸν πάντα εἰδέναι λέγων πάντας τοὺς ἄλλους ἀνεπιστή-*

LXXXI.

Ποταμοῖσι τοῖσι αὐτοῖσι ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμεν.

LXXXII.

Κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι.

LXXXIII.

Μεταβάλλον ἀναπαύεται.

μονας ποιεῖ—Suidas s. v. Ποστοῦμος (=Aelianus fr. 317 Hercher.): οὔκουν ἀπεικὸς ἦν καὶ τόνδε τὸν Ποστοῦμον λέγειν λόγον ἐκεῖνον, ὅνπερ οὖν Ἡράκλειτος εἶπεν ἐφ' ἑαυτοῦ· Ἐμεωυτὸν ἐδιζησάμην—Respic. Philo de Ioseph. 22, p. 59: ἐρευνησάτω δὲ ἕκαστος αὑτὸν [vulg. αὐτῶν] καὶ τὸν ἔλεγχον αὐτῶν οἴκοθεν καὶ ἄνευ τῶν παρ' ἐμοῦ πίστεων εἴσεται, καὶ μάλιστα εἴ τις πρεσβύτερος ἤδη γεγονὼς τυγχάνει—Clemens Alex. Strom. ii. 1, p. 429: ἃ δὲ αὐτοὶ διζησάμενοι ἑαυτοὺς ἐξευρηκέναι φρυάττονται τούτων ὁ ἔλεγχος—Plotinus Enn. v. 9, p. 559: καὶ ἡ τῶν ἄνευ ὕλης ἐπιστήμη ταὐτὸν τῷ πράγματι· καὶ τὸ Ἐμαυτὸν ἐδιζησάμην, ὡς ἓν τῶν ὄντων—Hesychius s. v.: ἐδίζησα ἐμεωυτόν· ἐζήτησα ἐμαυτόν.

LXXXI. Seneca Epist. 58: et ego ipse, dum loquor mutari ista, mutatus sum. hoc est quod ait Heraclitus: In idem flumen bis descendimus et non descendimus: manet enim idem fluminis nomen, aqua transmissa est. hoc in amne manifestius est quam in homine, sed nos quoque non minus velox cursus praetervehit—Heraclitus Alleg. Hom. 24 (ad fr. LXVII cit.)—Conf. Epicharmus fr. B. 40 Lorenz.; Parmenides v. 58 Stein.

LXXXII. Plotinus Enn. iv. 8, p. 468; Iamblichus ap. Stob. Ecl. i. 41, p. 906; Aeneas Gaz. Theophrast. p. 9 (ad fr. LXXXIII citati) —Conf. Hippocrates περὶ διαίτης i. 15; Philo de Cherub. 26, p. 155.

LXXXIII. Plotinus Enn. iv. 8, p. 468: ὁ μὲν γὰρ Ἡράκλειτος, ὃς ἡμῖν παρακελεύεται ζητεῖν τοῦτο (scil. quomodo anima in corpus descenderit), ἀμοιβάς τε ἀναγκαίας τιθέμενος ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω εἰπών, καὶ Μεταβάλλον ἀναπαύεται, καὶ Κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι (=fr. LXXXII), εἰκάζειν ἔδωκεν, ἀμελήσας σαφῆ ἡμῖν ποιῆσαι τὸν λόγον, ὡς δέον ἴσως παρ' αὐτῷ ζητεῖν ὥσπερ καὶ αὐτὸς ζητήσας εὗρεν

LXXXII. ἄγχεσθαι Creuzer coll. Hermete ap. Stob. Ecl. i. 39, p. 768: καταλείπει τὴν τῷ σώματι προσκειμένην (scil. ψυχήν) καὶ ὑπ' αὐτοῦ ἀγχομένην κάτω.

LXXXIV.

Καὶ ὁ κυκεὼν διίσταται μὴ κινεόμενος.

LXXXV.

Νέκυες κοπρίων ἐκβλητότεροι.

(v. fr. LXXX)—Idem iv. 8, p. 473: οὐδ' ἡ Ἐμπεδοκλέους φυγὴ ἀπὸ τοῦ θεοῦ καὶ πλάνη, οὐδ' ἡ ἁμαρτία ἐφ' ᾗ ἡ δίκη, οὐδὲ ἡ Ἡρακλείτου ἀνάπαυλα ἐν τῇ φυγῇ—Iamblichus ap. Stob. Ecl. i. 41, p. 906: Ἡράκλειτος μὲν γὰρ ἀμοιβὰς ἀναγκαίας τίθεται ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω διαπορεύεσθαι τὰς ψυχὰς ὑπείληφε· καὶ τὸ μὲν τοῖς αὐτοῖς ἐπιμένειν κάματον εἶναι, τὸ δὲ μεταβάλλειν φέρειν ἀνάπαυσιν—Idem p. 894: κατ' Ἐμπεδοκλέα δὲ τῆς πρώτης ἀπὸ τοῦ θεοῦ φυγῆς, καθ' Ἡράκλειτον δὲ τῆς ἐν τῷ μεταβάλλεσθαι ἀναπαύλης . . . αἰτίας γιγνομένης τῶν καταγωγῶν ἐνεργημάτων—Aeneas Gazaeus Theophrast. p. 9 Barth.: ὁ μὲν γὰρ Ἡράκλειτος διαδοχὴν ἀναγκαίαν τιθέμενος ἄνω καὶ κάτω ψυχῆς τὴν πορείαν ἔφη γίγνεσθαι· ἐπεὶ κάματος ἐπὶ τοῖς αὐτοῖς ἄνω μοχθεῖν καὶ τοῖς θεοῖς συμπεριπολεῖν καὶ ἄρχεσθαι (v. fr. LXXXII). διὰ τοῦτο τῇ τοῦ ἠρεμεῖν ἐπιθυμίᾳ καὶ ἀρχῆς ἐλπίδι κάτω φησὶ φέρεσθαι τὴν ψυχήν. ὁ δὲ Ἐμπεδοκλῆς κτέ—Idem. p. 11: Ἡράκλειτος, ᾧ δοκεῖ τῶν ἄνω πόνων τῆς ψυχῆς ἀνάπαυλαν εἶναι τὴν εἰς τόνδε τὸν βίον φυγήν.

LXXXIV. Theophrastus π. ἰλίγγων 9, p. 138 Wimmer.: τὰ γὰρ πεφυκότα κινεῖσθαι ταύτην τὴν κίνησιν σώζεται καὶ συμμένει διὰ ταύτην, εἰ δή [δὲ μή vulg. corr. Bernays], καθάπερ Ἡράκλειτός φησι, καὶ ὁ κυκεὼν διίσταται < μὴ > κινούμενος—Alexander Aphrod. Probl. p. 11 Usener.: ὁ δὲ κυκεών, ὥσπερ καὶ Ἡράκλειτός φησιν, ἐὰν μή τις ταράττῃ, διίσταται—Respic. Lucianus Vit. auct. 14: ἔμπεδον οὐδέν, ἀλλά κως εἰς κυκεῶνα πάντα συνειλέονται—fort. Philodemus π. εὐσεβείας vii, p. 81 Gomperz.: παραπλήσια δὲ κἀν τοῖς περὶ φύσεως γράφει (scil. Chrysippus), μεθ' ὧν εἴπαμεν, καὶ τὸν Ἡρακλείτου συνοικειῶν < κυκεῶ > [ita lacunam explet Petersenus]—Conf. *M. Antoninus iv. 27 (v. etiam vi. 10; ix. 39): ἤτοι κόσμος διατεταγμένος ἢ κυκεών, συμπεφορημένος μὲν ἀλλὰ κόσμος. *Bernays.*

LXXXV. Strabo xvi. 26, p. 784: ἴσα κοπρίαις ἡγοῦνται τὰ νεκρὰ σώματα, καθάπερ Ἡράκλειτός φησι· Νέκυες κοπρίων ἐκβλητότεροι—Plutarchus Qu. conviv. iv. 4, p. 669: νέκυες γὰρ κοπρίων ἐκβλητότεροι καθ' Ἡράκλειτον—Pollux Onom. v. 163: τῶν ἐν ταῖς τριόδοις καθαρμάτων ἐκβλητότερος, κοπρίων ἐκβλητότερος, εἰ δεῖ καθ' Ἡράκλειτον λέγειν—Origenes c. Cels. v. 14, p. 247 (e Celso: conf. 24, p. 253): καὶ ψυχῆς

LXXXIV. κυκλεύων Alexandri codd. || ἵσταται Alexandri codd. || μὴ primus adiciendum esse vidit Bernaysius || κινούμενος vulg.

LXXXVI.

Γενόμενοι ζώειν ἐθέλουσι μόρους τ᾽ ἔχειν· μᾶλλον δὲ ἀναπαύεσθαι, καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι.

LXXXVII.

Plutarchus de Orac. def. 11, p. 415: οἱ μὲν "ἡβῶντος" ἀναγινώσκοντες (apud Hesiod. fr. 163 Goettling.) ἔτη τριάκοντα ποιοῦσι τὴν γενεὰν καθ᾽ Ἡράκλειτον· ἐν ᾧ χρόνῳ γεννῶντα παρέχει τὸν ἐξ αὐτοῦ γεγεννημένον ὁ γεννήσας.

LXXXVIII.

Io. Lydus de Mensibus iii. 10, p. 37 ed. Bonn.: ὁ τριάκοντα ἀριθμὸς φυσικώτατός ἐστιν· ὃ γὰρ ἐν μονάσι τριάς, τοῦτο ἐν δεκάσι τριακοντάς. ἐπεὶ καὶ ὁ τοῦ μηνὸς κύκλος συνέστηκεν ἐκ τεσσάρων

μὲν αἰώνιον βιοτὴν δύναιτ᾽ ἂν (scil. θεός) παρασχεῖν· νέκυες δέ, φησὶν Ἡράκλειτος, κοπρίων ἐκβλητότεροι—Iulianus Or. vii, p. 226 C: ὀλιγωρεῖν δὲ πάντη τοῦ σώματος καὶ νομίζειν αὐτὸ κατὰ τὸν Ἡράκλειτον κοπρίων ἐκβλητότερον (=Cedrenus Hist. comp. 157 C; Suidas s. v. Ἡράκλειτος) —Respic. Philo de Profug. ii, p. 555: ἄψυχον καὶ νεκρὸν καὶ κοπρίων, ὡς ἔφη τις, ἐκβλητότερον—Plotinus Enn. v. 1, p. 483: ἔστι δὲ καὶ ἥλιος θεός, ὅτι ἔμψυχος, καὶ τὰ ἄλλα ἄστρα, καὶ ἡμεῖς, εἴπερ τι, διὰ τοῦτο· νέκυες γὰρ κοπρίων ἐκβλητότεροι—Schol. V. ad Il. xxiv. 54, p. 630 Bekk. (=Eustath. ad Il. l. l., p. 1338, 47): ὅτι ἀπὸ γῆς τὸ σῶμα καὶ ὅτι βαρὺ καὶ γεῶδες, ὡς καὶ Ἐμπεδοκλῆς· νέκυες κοπρίων ἐκβλητότεροι.—Conf. Epictetus Diss. ii. 4, 5: οὐ θέλεις οὖν ῥιφθῆναί που καὶ αὐτὸς ἐπὶ κοπρίαν, ὡς σκεῦος ἄχρηστον, ὡς κόπριον.

LXXXVI. Clemens Alex. Strom. iii. 3, p. 516: Ἡράκλειτος γοῦν κακίζων φαίνεται τὴν γένεσιν ἐπειδή φησι· Γενόμενοι ζώειν ἐθέλουσι μόρους τ᾽ ἔχειν, μᾶλλον δὲ ἀναπαύεσθαι, καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι.

LXXXVII. Censorinus de D. N. 17: quare qui annos triginta saeculum putarunt multum videntur errasse: hoc enim tempus genean vocari Heraclitus auctor est, quia orbis aetatis in eo sit spatio: orbem autem vocat aetatis, dum natura ab sementi humana ad sementim revertitur—Conf. Plutarchus Plac. Philos. v. 24, p. 909.

LXXXVIII. =Crameri A. P. i, p. 324—conf. Philo ad fr. LXXXIX cit.—Ceterum hoc non Heraclito sed Stoico nescio cui vestigiis

---

LXXXVI. γενόμενοι] ἐπειδὰν γένωνται Mullach || μᾶλλον δὲ ἀναπαύεσθαι emblema esse Clementis coni. Mullach || μόρων γενέσθαι Mullach.

τῶν ἀπὸ μονάδος ἑξῆς τετραγώνων α', δ', θ', ις'. ὅθεν οὐκ ἀπὸ σκοποῦ Ἡράκλειτος γενεὰν τὸν μῆνα καλεῖ.

LXXXIX.

Ex homine in tricennio potest avus haberi.

XC.

M. Antoninus vi. 42: πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν, οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς, οἱ δὲ ἀνεπιστάτως· ὥσπερ καὶ τοὺς καθεύδοντας, οἶμαι, ὁ Ἡράκλειτος ἐργάτας εἶναι λέγει καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων.

XCI.

Ξυνόν ἐστι πᾶσι τὸ φρονέειν. ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις καὶ πολὺ ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι

Heracliteis insistenti existimo deberi, collatis iis quae etiam de anno refert Plutarchus de Orac. def. 12, p. 416: οὐκ ἐνιαυτὸς ἀρχὴν ἐν αὑτῷ καὶ τελευτὴν ὁμοῦ πάντων ὧν φέρουσιν ὧραι γῆ δὲ φύει περιέχων, οὐδὲ ἀνθρώπων ἀπὸ τρόπου γενεὰ κέκληται.

LXXXIX. Philo Qu. in Gen. ii. 5, p. 82 Aucher.: triginta apprime naturale est; sicut enim in unitatis serie trinus est numerus, ita in denariis triginta: idque lunae cyclus, collectio singulorum mensium plena delineatione. secundo, componitur ex quattuor continuatione unitatis horum quadrangulorum, I, IV, IX, XVI, triginta constituentibus. unde non gratis ac frustra Heraclitus generationem id vocavit quum diceret: Ex homine in tricennio potest avus haberi; quoniam pubertatem attingit XIV aetatis anno, quo seminare potest; semen autem eius inter annum confectum iterum post annum XV generat similem sibi. ex his autem nominibus avorum patrum filiorum natorum, sicut et matrum filiarum filiarumque prolibus completa perficitur generatio.

XCI. Stobaeus Floril. iii. 84—Respic. Cleanthes H. in Iov. 24: οὔτ᾽ ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν, ᾧ κεν πειθόμενοι σὺν νῷ βίον

XCI. φρονεῖν vulg. || πολὺ Schleiermacher: πόλιος Preller: πόλις vulg.: mire Iacobs καὶ πόλος ἔτ᾽ ἰσχυροτέρῳ (scil. ἰσχυρίζεται) || ἀνθρώπειοι cod. B Gaisfordii: ἀνθρώπιοι ed. Trincavell.: ἀνθρώπινοι vulg. || κρατεῖ vulg. corr. Ritter || ἐξαρκεῖ vulg. corr. Ritter.

ὑπὸ ἑνὸς τοῦ θείου· κρατέει γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκέει πᾶσι καὶ περιγίνεται.

XCII.

Τοῦ λόγου δ' ἐόντος ξυνοῦ, ζώουσι οἱ πολλοὶ ὡς ἰδίην ἔχοντες φρόνησιν.

XCIII.

Ὧι μάλιστα διηνεκέως ὁμιλέουσι, τούτῳ διαφέρονται.

XCIV.

Οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν.

XCV.

Plutarchus de Superst. 3, p. 166: ὁ Ἡράκλειτός φησι, τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι, τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀποστρέφεσθαι.

ἐσθλὸν ἔχοιεν—Hippocrates π. τροφῆς 15: φύσις ἐξαρκέει πάντα πᾶσιν —Plutarchus de Iside 45, p. 369: ἕνα λόγον καὶ μίαν πρόνοιαν, ὡς οἱ Στωικοί, περιγινομένην ἁπάντων καὶ κρατοῦσαν—Plotinus Enn. vi. 5, p. 668: τὸ φρονεῖν πᾶσιν ὅλον, διὸ καὶ ξυνὸν τὸ φρονεῖν—Conf. Empedocles v. 231 Stein.: πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.

XCII. Sextus Emp. adv. Math. vii. 133: διὰ τούτων γὰρ ῥητῶς παραστήσας ὅτι κατὰ μετοχὴν τοῦ θείου λόγου πάντα πράττομέν τε καὶ νοοῦμεν, ὀλίγα προσδιελθὼν ἐπιφέρει· διὸ δεῖ ἕπεσθαι τῷ κοινῷ (ξυνὸς γὰρ ὁ κοινός)· Τοῦ λόγου δ' ἐόντος ξυνοῦ, ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν· ἡ δ' ἐστὶν οὐκ ἄλλο τι ἀλλ' ἐξήγησις τοῦ τρόπου τῆς τοῦ παντὸς διοικήσεως (conf. fr. XIX)· διὸ καθ' ὅ τι ἂν αὐτοῦ τῆς μνήμης κοινωνήσωμεν, ἀληθεύομεν, ἃ δὲ ἂν ἰδιάσωμεν, ψευδόμεθα (horum maximam partem non ipsius Ephesii sed interpretis nescio cuius a Sexto male intellecti esse arbitror: conf. Schleiermacher p. 484).

XCIII. M. Antoninus iv. 46 (ad fr. V cit.).

XCIV. M. Antoninus iv. 46 (ad fr. V cit.).

XCV. Respic. fort. pseudo-Pythagoras ap. Hippolyt. Ref. haer. vi. 26: ἐκ τῆς ἰδίης ἐὰν ἀποδημῇς, μὴ ἐπιστρέφου· εἰ δὲ μή, Ἐρινύες δίκης ἐπίκουροί σε μετελεύσονται (conf. fr. XXIX): Iamblichus Protrept. 21, p. 132 Arcer.

XCIII. διηνεκῶς ὁμιλοῦσι vulg.

XCVI.

Ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας, θεῖον δὲ ἔχει.

XCVII.

Ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ παῖς πρὸς ἀνδρός.

XCVIII.

Plato Hipp. mai. 289 B: ἦ οὐ καὶ Ἡράκλειτος ταὐτὸν τοῦτο λέγει, ὃν σὺ ἐπάγει, ὅτι ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται καὶ σοφίᾳ καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν;

XCIX.

Plato Hipp. mai. 289 A: ὦ ἄνθρωπε, ἀγνοεῖς ὅτι τὸ τοῦ Ἡρακλείτου εὖ ἔχει, ὡς ἄρα πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἄλλῳ γένει συμβάλλειν, καὶ χυτρῶν ἡ καλλίστη αἰσχρὰ παρθένων γένει συμβάλλειν, ὥς φησιν Ἱππίας ὁ σοφός.

C.

Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκως ὑπὲρ τείχεος.

XCVI. Origenes c. Cels. vi. 12, p. 291: ὅμως μέντοι ἐβουλήθη (scil. Celsus) καὶ τοῦτο δεῖξαι πεπλασμένον ἡμῖν καὶ ληφθὲν ἀπὸ τῶν παρ' Ἕλλησι σοφῶν, ἄλλην μὲν εἶναι φησάντων τὴν ἀνθρωπίνην σοφίαν ἄλλην δὲ τὴν θείαν· καὶ ἐκτίθεταί γε Ἡρακλείτου λέξεις, μίαν μὲν ἐν ᾗ φησιν· Ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας, θεῖον δὲ ἔχει· ἑτέραν δέ· Ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ παῖς πρὸς ἀνδρός (=fr. XCVII).

XCVII. Origenes c. Cels. vi. 12, p. 291 (ad fr. XCVI cit.)—Conf. M. Antoninus iv. 46 (ad fr. V cit.).

XCVIII. Conf. *M. Antoninus iv. 16: θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίον καὶ πίθηκος. *Bernays.*

XCIX. Respic. Plotinus Enn. vi. 3, p. 626: καίτοι καὶ καλὸν λεγόμενον φανείη ἂν πρὸς ἄλλο αἰσχρόν, οἷον ἀνθρώπου κάλλος πρὸς θεῶν· πιθήκων, φησίν, ὁ κάλλιστος αἰσχρὸς συμβάλλειν ἑτέρῳ γένει. ἀλλ' ἐφ' ἑαυτοῦ μὲν καλόν, πρὸς ἄλλο δὲ ἢ κάλλιον ἢ τοὐναντίον—Conf. Aristoteles Top. iii. 2, p. 117 *b* 17.

C. Diogenes Laert. ix. 2 (ad fr. CIII cit.).

XCVII. δαήμονος Bernays: v. tamen Plato Crat. 398 B.

XCIX. ἄλλῳ] ἀνθρωπίνῳ Sydenham: ἀνθρωπείῳ Heindorf: ἀνθρώπων Bekker: ἀλωπέκων (vel ἀλώπεκι, omisso γένει) Huschke.

CI.

Μόροι γὰρ μέζονες μέζονας μοίρας λαγχάνουσι.

CII.

Ἀρηιφάτους θεοὶ τιμῶσι καὶ ἄνθρωποι.

CIII.

Ὕβριν χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν.

CIV.

Ἀνθρώποισι γίνεσθαι ὁκόσα θέλουσι οὐκ ἄμεινον. νοῦσος ὑγίειαν ἐποίησε ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν.

CI. Clemens Alex. Strom. iv. 7, p. 586: *ταύτης τῆς ἐννοίας καὶ Αἰσχύλος ἐπιλαβόμενός φησι· τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος. μόροι γὰρ μέζονες μέζονας μοίρας λαγχάνουσι καθ' Ἡράκλειτον*—Theodoretus Therap. viii, p. 117, 33 (ad fr. CII cit.)—Conf. Hippolytus Ref. haer. v. 8: *τοῦτο, φησίν* (scil. Naassenus), *ἐστὶν ὃ λέγουσιν οἱ κατωργιασμένοι τῶν Ἐλευσινίων τὰ μυστήρια· θεμιτὸν δέ ἐστι τὰ μικρὰ μεμυημένους αὖθις τὰ μεγάλα μυεῖσθαι· μόροι γὰρ μείζονες μείζονας μοίρας λαγχάνουσι* (mox iterum: *οἱ γὰρ τοὺς ἐκεῖ, φησί, λαχόντες μόρους μείζονας μοίρας λαμβάνουσιν*).

CII. Clemens Alex. Strom. iv. 4, p. 571: *Ἡράκλειτος μέν φησιν· Ἀρηιφάτους θεοὶ τιμῶσι καὶ ἄνθρωποι· καὶ Πλάτων ἐν τῷ πέμπτῳ τῆς πολιτείας* (468 E) *γράφει κτέ*—Theodoretus Therap. viii, p. 117, 33: *ὁ δέ γε Ἡράκλειτος καὶ τοὺς ἐν πολέμοις ἀναιρεθέντας πάσης ἀξίους ὑπολαμβάνει τιμῆς· Ἀρηιφάτους γάρ, φησίν, οἱ θεοὶ τιμῶσι καὶ οἱ ἄνθρωποι. καὶ πάλιν· Μόνοι* [sic legit ipse Theodoretus] *γὰρ μείζονες μείζονος μοίρας λαγχάνουσιν* (=fr. CI).

CIII. Diogenes Laert. ix. 2: *ἔλεγε δὲ καί, Ὕβριν χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν, καί, Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκως ὑπὲρ τείχεος* (=fr. C).

CIV. Stobaeus Floril. iii. 83, 4—Conf. Clemens Alex. Strom. ii. 21, p. 497: *Ἀναξαγόραν μὲν γὰρ τὸν Κλαζομένιον τὴν θεωρίαν φάναι τοῦ*

CI. *μέζονας*] *μείζονος* Theodoreti codd.; sed v. Plato de Legg. xi. 923 B.

CIII. *σβεννύναι* ed. Cobet.; v. Append. I.

CIV. *ἀνθρώποις γ. ὁ. θέλουσιν* vulg. corr. Mullach. || *ὑγείαν* vulg.: *ὑγιείην* Gaisford; conf. Stein ad Herod. p. li. || *ἐποίησεν* vulg. corr. Mullach.

CV.

Θυμῷ μάχεσθαι χαλεπόν· ὅ τι γὰρ ἂν χρηΐζῃ γίνεσθαι, ψυχῆς ὠνέεται.

CVI.

†Ἀνθρώποισι πᾶσι μέτεστι γιγνώσκειν ἑαυτοὺς καὶ σωφρονεῖν.†

βίου τέλος εἶναι καὶ τὴν ἀπὸ ταύτης ἐλευθερίαν λέγουσιν, Ἡράκλειτον δὲ τὸν Ἐφέσιον τὴν εὐαρέστησιν—Theodoretus Therap. xi, p. 152, 25: *καὶ Ἡράκλειτος δὲ ὁ Ἐφέσιος τὴν μὲν προσηγορίαν μετέβαλε, τὴν δὲ διάνοιαν καταλέλοιπεν· ἀντὶ γὰρ τῆς ἡδονῆς εὐαρέστησιν τέθεικεν. κτέ.*

CV. Aristoteles Eth. Nic. ii. 2, p. 1105 *a* 8: *ἔτι δὲ χαλεπώτερον ἡδονῇ μάχεσθαι ἢ θυμῷ, καθάπερ φησὶν Ἡράκλειτος*—Idem Eth. Eud. ii. 7, p. 1223 *b* 22: *ἔοικε δὲ καὶ Ἡράκλειτος λέγειν εἰς τὴν ἰσχὺν τοῦ θυμοῦ βλέψας ὅτι λυπηρὰ ἡ κώλυσις αὐτοῦ· χαλεπὸν γάρ, φησί, θυμῷ μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖται*—Idem Pol. v. 11, p. 1315 *a* 29: *ἀφειδῶς γὰρ ἑαυτῶν ἔχουσιν οἱ διὰ θυμὸν ἐπιχειροῦντες, καθάπερ καὶ Ἡράκλειτος εἶπε, χαλεπὸν φάσκων εἶναι θυμῷ μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖσθαι*—Plutarchus de Cohib. ira 9, p. 457: *τὸ δὲ ἐν ψυχῇ στῆσαι κατὰ θυμοῦ τρόπαιον* (*ᾧ χαλεπὸν εἶναι διαμάχεσθαι, φησὶν Ἡράκλειτος· ὅ τι γὰρ ἂν θέλῃ ψυχῆς ὠνεῖται*) *μεγάλης ἐστὶ καὶ νικητικῆς ἰσχύος* (locum Plutarchi male intellexit Ammianus Marcell. xxi. 16, 14)—Idem Erot. 11, p. 755: *ἔρωτι δὲ μάχεσθαι χαλεπόν, οὐ θυμῷ καθ' Ἡράκλειτον· ὅ τι γὰρ ἂν θελήσῃ καὶ ψυχῆς ὠνεῖται καὶ χρημάτων καὶ δόξης*—Iamblichus Protrept. p. 140 Arcer.: *μάρτυς τοῖς λεχθεῖσιν Ἡράκλειτος· Θυμῷ γάρ, φησί, μάχεσθαι χαλεπόν· ὅ τι γὰρ ἂν χρῄζῃ γίγνεσθαι ψυχῆς ὠνέεται*—Respic. Plutarchus Coriol. 22: *οὐ μὴν ἀλλὰ μέγεθός τι φρονήματος ἔχοντα τὸν Τύλλον ὁρῶν καὶ μάλιστα δὴ Οὐολούσκων ἐπιθυμοῦντα Ῥωμαίους λαβὴν παρασχόντας ἐν μέρει κολοῦσαι, μαρτυρίαν ἀπέλιπε τῷ εἰπόντι· Θυμῷ μάχεσθαι χαλεπόν· ὅ τι γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται*—pseudo-Democritus fr. mor. 77 Mullach.—fort. Longinus de Subl. 44: *τὸ δὲ ἐκ παντὸς κερδαίνειν ὠνούμεθα τῆς ψυχῆς.*

CVI. Stobaeus Floril. v. 119.

CV. *χρήζῃ* vel *χρήζῃ* Iamblichi edd. || *ὀνέεται* cod. Ciz. et ed. Arcer.: corr. Vulcanius.

CVII.

† Σωφρονεῖν ἀρετὴ μεγίστη· καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας. †

CVIII.

Ἀμαθίην ἄμεινον κρύπτειν· ἔργον δὲ ἐν ἀνέσει καὶ παρ' οἶνον.

CIX.

† Κρύπτειν ἀμαθίην κρέσσον ἢ ἐς τὸ μέσον φέρειν. †

CX.

Νόμος καὶ βουλῇ πείθεσθαι ἑνός.

CVII. Stobaeus Floril. iii. 84.

CVIII. Plutarchus Qu. conviv. iii prooem., p. 644: ἔν τινι πότῳ ξένον ἰδὼν κατακείμενον σιωπῇ καὶ μηδενὶ διαλεγόμενον, Ὦ ἄνθρωπε, εἶπεν, εἰ μὲν ἠλίθιος εἶ, σοφὸν πρᾶγμα ποιεῖς· εἰ δὲ σοφός, ἠλίθιον· ἀμαθίην γὰρ ἄμεινον, ὥς φησιν Ἡράκλειτος, κρύπτειν, ἔργον δὲ ἐν ἀνέσει καὶ παρ' οἶνον—Idem de Audiendo 12, p. 43: τάχα μὲν γὰρ οὐδὲ ἀμαθίην κρύπτειν ἄμεινον, ὥς φησιν Ἡράκλειτος, ἀλλ' εἰς μέσον τιθέναι καὶ θεραπεύειν—Idem Virt. doc. posse 2, p. 439: ἀλλ' ὅμως οὔτ' ἂν ἱστὸν οὔτε βιβλίον ἢ λύραν ὁ μὴ μαθὼν μεταχειρίσαιτο, καίπερ εἰς οὐδὲν μέγα βλαβησόμενος, ἀλλ' αἰδεῖται γενέσθαι καταγέλαστος· ἀμαθίην γὰρ Ἡράκλειτός φησι κρύπτειν ἄμεινον—Idem ap. Stob. Floril. xviii. 32: ἀμαθίην, ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν, ἐν οἴνῳ δὲ χαλεπώτερον· καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίγνεσθαι.

CIX. Stobaeus Floril. iii. 82 (versus est, fortasse Scythini, apud quem nescio an secutum sit: ἔργον δ' ἐν ἀνέσει καὶ παρ' οἶνον γίγνεται).

CX. Clemens Alex. Strom. v. 14, p. 718 (=Euseb. P. E. xiii. 13, p. 681) ad fr. LXV citatus.

CVII. ποιέειν καλά, φύσιν ἐπαΐοντας Valckenaer: vix crediderim orationem ipsius Heracliti esse (conf. Schleiermacher, p. 479).

CX. βουλῇ Eusebius: βουλὴ Clementis cod., Mullach.

CXI.

Τίς γὰρ αὐτῶν νόος ἢ φρήν; [δήμων] ἀοιδοῖσι ἕπονται καὶ διδασκάλῳ χρέωνται ὁμίλῳ, οὐκ εἰδότες ὅτι πολλοὶ κακοὶ ὀλίγοι δὲ ἀγαθοί. αἱρεῦνται γὰρ ἓν ἀντία πάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν, οἱ δὲ πολλοὶ κεκόρηνται ὅκωσπερ κτήνεα.

CXII.

Ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλέων λόγος ἢ τῶν ἄλλων.

CXI. Clemens Alex. Strom. v. 9, p. 682: αἱ γοῦν Ἰάδες μοῦσαι διαρρήδην λέγουσι τοὺς μὲν πολλοὺς καὶ δοκησισόφους δήμων ἀοιδοῖσιν ἕπεσθαι καὶ νόμοισι χρέεσθαι, εἰδότας ὅτι πολλοὶ κακοὶ ὀλίγοι δὲ ἀγαθοί. τοὺς ἀρίστους δὲ τὸ κλέος μεταδιώκειν. Αἱρεῦνται γάρ, φησίν, ἓν ἀντία πάντων οἱ ἄριστοι κλέος ἀέναον θνητῶν, οἱ δὲ πολλοὶ κεκόρηνται ὅπως κτήνεα, γαστρὶ καὶ αἰδοίοις καὶ τοῖς αἰσχίστοις τῶν ἐν ἡμῖν μετρήσαντες τὴν εὐδαιμονίαν (extrema Heracliteis e Demosth. de Cor. p. 324 adhaeserunt, ut etiam apud Euseb. P. E. xi. 28, p. 556)—Strom. iv. 7, p. 586: κἀντεῦθεν Ἡράκλειτος ἓν ἀντὶ πάντων κλέος ᾑρεῖτο, τοῖς δὲ πολλοῖς παραχωρεῖν ὁμολογεῖ κεκορῆσθαι οὐχ ὥσπερ κτήνεσι—Proclus in Alcib. p. 255 Creuzer.=525 ed. Cous. ii: ὀρθῶς οὖν καὶ ὁ γενναῖος Ἡράκλειτος ἀποσκορακίζει τὸ πλῆθος ὡς ἄνουν καὶ ἀλόγιστον· Τίς γὰρ αὐτῶν, φησί, νόος ἢ φρὴν δήμων αἰδοῦς ἠπιόων τε καὶ διδασκάλῳ χρειῶν τε ὁμίλῳ, οὐκ εἰδότες ὅτι οἱ πολλοὶ κακοὶ, ὀλίγοι δὲ ἀγαθοί; τοιαῦτα μὲν ὁ Ἡράκλειτος· διὸ καὶ ὁ σιλλογράφος ὀχλολοίδορον αὐτὸν ἀπεκάλεσεν.

CXII. Diogenes Laert. i. 88: καὶ ὁ δυσάρεστος Ἡράκλειτος μάλιστα αὐτὸν ἐπῄνεσε γράψας· Ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλέων λόγος ἢ τῶν ἄλλων. καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον. ἀπεφθέγξατο· Οἱ πλεῖστοι κακοί.

CXI. Ita fere orationem restituit Bernaysius Heraclit. i. p. 34: alii (Werfer, Cousin, Lassalle) aliter. αὐτῶν om. Creuzer cum nonnullis Procli codd. || φρὴν δαήμων (vel δαίμων); Bergk: seclusi δήμων tanquam interpretationem praecedentis αὐτῶν || χρέωνται Bernays de Epp. Heraclit. p. 127 (antea fort. minus recte χρέονται) || ἓν ἀντία Bernays, Lassalle: ἓν ἀντὶ Cobet: ἐναντία cod. Strom. p. 682 || ἀένναον vulg. corr. Klotz || θνητῶν δὲ πολλοὶ Cobet.

CXII. Βίης ed. Cobet. || πλέων ed. Cobet.: πλείων vulg.

CXIII.

Εἷς ἐμοὶ μύριοι, ἐὰν ἄριστος ᾖ.

CXIV.

Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον, φάντες· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω, εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων.

CXIII. Galenus περὶ διαγνώσεως σφυγμῶν i. 1; t. 3, p. 53 ed. Bas.: τοιοῦτοι δ' εἰσὶ παντελῶς ὀλίγοι τῶν νῦν· ἀλλὰ κατὰ τὸν Ἡράκλειτον εἷς ἐμοὶ μύριοι, καὶ ἥδιον ἂν τοὺς λόγους πρὸς τοῦτον τὸν ἕνα ποιησαίμην ἢ πρὸς τοὺς μυρίους τοὺς ἑνὸς ἢ οὐδενὸς ἀξίους Bernays—Symmachus Epist. ix. 115 (105 ed. Par. 1604): iudicio tuo et similium contentus esse deberem . . . secundum Heraclitum physicum qui summam laudis arbitrabatur placere uni si esset optimus qui probaret—Theodorus Prodromus in Lazerii Miscell. i. p. 20: εἰ γὰρ ὁ εἷς μύριοι, παρ' Ἡρακλείτῳ, ἐὰν ἄριστος ᾖ, πάντως καὶ ἡ μία χελιδὼν ἀντὶ μυρίων λογίζοιτ' ἂν ἐὰν κληρῶται τὸ ἄριστον—Idem Tetrastich. in Basil. 1 (fol. κ 2 vers. ed. Bas.): αὐχεῖ μὲν Ἑλλὰς μυρίους τοὺς ἐκγόνους, αὐχεῖ δὲ Πόντος τὸν Βασίλειον μόνον καὶ καταποντεῖν [?] τῷ καλῷ τὴν Ἑλλάδα. εἷς γάρ, καθ' Ἡράκλειτον, ἐστὶ μύριοι—Respic. Epigramm. ap. Diog. Laert. ix. 16 (=Anth. Pal. vii. 128): εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι· οἱ δ' ἀνάριθμοι οὐδείς· ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ (e Diogene sua hauserunt Olympiodorus Comm. in Plat. Gorg. p. 267 ed. Iahn., et Suidas s. v. ἀναρίθμητος)—Conf. Cicero ad Att. xvi. 11: tu vero leges Sexto, eiusque iudicium mihi perscribes: εἷς ἐμοὶ μύριοι—Seneca Epist. 7: Democritus ait: Unus mihi pro populo est, et populus pro uno.

CXIV. Strabo xiv. 25, p. 642: ἄνδρες δ' ἀξιόλογοι γεγόνασιν ἐν αὐτῇ τῶν μὲν παλαιῶν Ἡράκλειτός τε ὁ σκοτεινὸς καλούμενος καὶ Ἑρμόδωρος, περὶ οὗ ὁ αὐτὸς οὗτός φησιν· Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι, οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω, εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων. δοκεῖ δ' οὗτος ὁ ἀνὴρ νόμους τινὰς Ῥωμαίοις συγγράψαι (v. Cobet Mnem. N. S. 4, p. 196)—Cicero Tusc. v. 105: est apud Heraclitum physicum de principe Ephesiorum Hermodoro: Universos ait Ephesios esse morte multandos, quod cum civitate expellerent Hermodorum ita locuti sint: nemo de nobis unus excellat: sin quis exstiterit, alio in loco et apud alios sit. an hoc non ita fit omni in populo? nonne omnem exsuperantiam virtutis oderunt? quid, Aristides, etc.—Musonius ap. Stob. Flor. xl. 9: ὥσπερ Ἀθήνηθεν μὲν (scil. ἐξηλάθη) Ἀριστείδης ὁ δίκαιος, ἐξ Ἐφέσου δὲ Ἑρμόδωρος, ἐφ' ᾧ καὶ Ἡράκλειτος ὅτι ἔφυγεν ἡβηδὸν ἐκέλευεν Ἐφεσίους ἀπάγξασθαι—Diog. Laert. ix. 2: καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον, ἐν οἷς φησιν· Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀποθανεῖν πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον ἑωυτῶν ὀνήιστον ἐξέβαλον λέγοντες· ἡμέων μηδεὶς [μηδὲ εἷς ed. Frob.] ὀνήιστος ἔστω· εἰ δέ τις τοιοῦτος, ἄλλῃ τε καὶ μετ' ἄλλων—Iamblichus de Vit. Pyth. 30, p. 154 Arcer.: οὐ γάρ, καθάπερ Ἡράκλειτος γράψειν Ἐφεσίοις ἔφη τοὺς νόμους, ἀπάγξασθαι τοὺς πολίτας ἡβηδὸν κελεύσας, ἀλλὰ μετὰ πολλῆς εὐνοίας καὶ πολιτικῆς ἐπιστήμης νομοθετεῖν ἐπεχείρησαν [v. Kiessling ad loc.]—Respic. Lucianus Vit. Auct. 14: πᾶσιν ἡβηδὸν οἰμώζειν—pseudo-Diogenes Epist. 28, 6: ἡβηδὸν σύμπαντες ἢ σωφρονεῖν μάθετε ἢ ἀπάγξασθε.

CXV.

Κύνες καὶ βαΰζουσι ὃν ἂν μὴ γινώσκωσι.

CXVI.

Ἀπιστίῃ διαφυγγάνει μὴ γινώσκεσθαι.

CXVII.

Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλέει.

CXV. Plutarchus An seni sit ger. resp. vii. p. 787: ὁ τοίνυν μέγιστον κακὸν ἔχουσιν αἱ πολιτεῖαι, τὸν φθόνον, ἥκιστα διερείδεται πρὸς τὸ γῆρας· κύνες γὰρ καὶ βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι καθ' Ἡράκλειτον.

CXVI. Plutarchus Coriol. 38: ἀλλὰ τῶν μὲν θείων τὰ πολλά, καθ' Ἡράκλειτον, ἀπιστίῃ διαφυγγάνει μὴ γιγνώσκεσθαι—Clemens Alex. Strom. v. 13, p. 699: ἀλλὰ τὰ μὲν τῆς γνώσεως βάθη κρύπτειν ἀπιστίη ἀγαθή, καθ' Ἡράκλειτον· ἀπιστίῃ γὰρ διαφυγγάνει μὴ γιγνώσκεσθαι.

CXVII. Plutarchus de Audiendo 7, p. 41: τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσιν εἰπόντα, Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ—Respic. Idem de Aud. poet. 9, p. 28: ὁ γὰρ οὕτως ἀπαντῶν μὲν καὶ

CXV. καὶ βαΰζουσι] καταβαΰζουσι Wakefield, Schuster.

CXVI. ἀπιστίη Clemens: e Clemente τὰ τῆς γνώσιος βάθεα κρύπτειν ἀπιστίη ἀγαθή Heraclito obtrudunt Mullachius Schuster aliique.

CXVIII.

Δοκεόντων ὁ δοκιμώτατος γινώσκει πλάσσειν· καὶ μέντοι καὶ δίκη καταλήψεται ψευδέων τέκτονας καὶ μάρτυρας.

CXIX.

Diogenes Laert. ix. 1 : τόν θ' Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως.

CXX.

Unus dies par omni est.

ἀντερείδων καὶ μὴ παντὶ λόγῳ πλάγιον ὥσπερ πνεύματι παραδιδοὺς ἑαυτόν, ἀλλ' ὀρθῶς ἔχειν νομίζων τό, Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι, πολλὰ διακρούσεται τῶν οὐκ ἀληθῶς οὐδὲ ὠφελίμως λεγομένων.

CXVIII. Clemens Alex. Strom. v. 1, p. 649 : δοκεόντων γὰρ ὁ δοκιμώτατος γινώσκει φυλάσσειν· καὶ μέντοι καὶ δίκη καταλήψεται ψευδῶν τέκτονας καὶ μάρτυρας, ὁ Ἐφέσιός φησιν. οἶδεν γὰρ καὶ οὗτος ἐκ τῆς βαρβάρου φιλοσοφίας μαθὼν τὴν διὰ πυρὸς κάθαρσιν τῶν κακῶς βεβιωκότων, ἣν ὕστερον ἐκπύρωσιν ἐκάλεσαν οἱ Στωικοί.

CXIX. Quae tanquam huc referenda (Ἡράκλειτος ἐντεῦθεν ἀστρολόγον φησὶ τὸν Ὅμηρον) e Schol. Ven. (A.) ad Il. xviii. 251 et Eustathio p. 1142, 5 ed. Rom. deprompsit Schleiermacher p. 345, ea mihi aliena videntur, Heraclidis fortasse Milesii : conf. Eustathius p. 705, 60 et Achilles Tat. Isag. p. 124 B Petav.

CXX. Seneca Epist. 12 : Heraclitus, cui cognomen fecit orationis obscuritas, Unus dies, inquit, par omni est. hoc alius aliter excepit : dixit enim parem esse horis, nec mentitur . . . alius ait parem esse unum diem omnibus similitudine : nihil enim habet longissimi temporis spatium quod non et in uno die invenias, lucem et noctem et alternas mundi vices—Plutarchus Camill. 19 : περὶ δ' ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί τινας, εἴτ' ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ τὰς μὲν ἀγαθὰς ποιουμένῳ τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται.

CXVIII. δοκέοντα Schleiermacher ‖ γινώσκειν Schleiermacher ‖ φυλάσσειν vulg. : φυλάσσει Schleiermacher : φλυάσσειν Bergk : πλάσσειν Bernays Heraclit. i. p. 38 ‖ ψευδῶν vulg.

CXXI.

Ἦθος ἀνθρώπῳ δαίμων.

CXXII.

Ἀνθρώπους μένει τελευτήσαντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσι.

CXXIII.

Ἔνθα †δεόντι† ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτὶ ζώντων καὶ νεκρῶν.

CXXI. Plutarchus Qu. Plat. i. 2, p. 999 : πότερον οὖν τὴν ἑαυτοῦ φύσιν, ὡς κριτικωτέραν ἢ γονιμωτέραν οὖσαν, θεὸν προσεῖπε ; καθάπερ Μένανδρος· Ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός· καὶ Ἡράκλειτος· Ἦθος ἀνθρώπου δαίμων—Alexander Aphrod. de Fato 6, p. 16 Orell. (=de Anima ii. 48, p. 150) : ἦθος γὰρ ἀνθρώπῳ δαίμων, κατὰ τὸν Ἡράκλειτον, τουτέστι φύσις—Stobaeus Floril. civ. 23 : Ἡράκλειτος ἔφη ὡς ἦθος ἀνθρώπῳ δαίμων—Respic. pseudo-Heraclitus Epist. 9 : μαντεύεται τὸ ἐμὸν ἦθος, ὅπερ ἑκάστῳ δαίμων.

CXXII. Themistius (Plutarchus) ap. Stob. Floril. cxx. 28 : τήν γε πεισθεῖσαν (scil. ψυχήν) ὅσα ἀνθρώπους περιμένει τελευτήσαντας καθ' Ἡράκλειτον, οὐδὲν ἂν κατάσχοι—Clemens Alex. Protrept. 2, p. 18 (=Euseb. P. E. ii. 3, p. 66) ad fr. CXXIV cit.—Idem Strom. iv. 22, p. 630 : συνᾴδειν τούτῳ καὶ ὁ Ἡράκλειτος φαίνεται δι' ὧν φησι περὶ τῶν ἀνθρώπων διαλεγόμενος· Ἀνθρώπους μένει ἀποθανόντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσιν—Theodoretus Therap. viii. p. 118, 1 : ἐκεῖνο δὲ τοῦ Ἡρακλείτου μάλα θαυμάζω, ὅτι μένει τοὺς ἀνθρώπους ἀποθνήσκοντας ὅσα οὐκ ἔλπονται οὐδὲ δοκέουσιν.

CXXIII. Hippolytus Ref. haer. ix. 10 : λέγει δὲ καὶ σαρκὸς ἀνάστασιν ταύτης φανερᾶς ἐν ᾗ γεγενήμεθα· καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀναστάσεως

CXXI. ἀνθρώπων Alexandri Aphrod. de Anima edd.

CXXIII. ἔνθα δεόντι codex : ἔνθαδε ἐόντας Bernays M. Rh. 9, p. 244 : ἔνθα διὰ θεόν τε idem ap. Bunsen. Anal. Ante-Nic. iii. p. 334 : ἔνθα θεόθεν τε idem de Epp. Heracl. p. 38 : ἔνθα θεὸν δεῖ Sauppe : ἔνθαδε ἔστι vel ἐν θεῷ δέον τι suspic. Petersen ‖ ἔτι ἀνίστασθαι ? ‖ φύλακα Sauppe ‖ ἐγερτιζόντων codex : ἐγερτὶ ζώντων Bernays M. Rh. 9, p. 244 : ἐγερτί, ζῶντας ἐκ νεκρῶν idem de Epp. Heracl. p. 38 : fort. ἔθνεσι ζωόντων κ. ν.—Orationem ita redintegrandam suspicatur Schuster : δαίμων ἐθέλει ἔνθαδε ἐόντι ἐπιίστασθαι καὶ φυλακὸς γ. ἐγερτὶ ζώντων κ. ν.

CXXIV.

Νυκτιπόλοι, μάγοι, βάκχοι, λῆναι, μύσται.

CXXV.

Τὰ γὰρ νομιζόμενα κατ᾽ ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυεῦνται.

CXXVI.

Καὶ τοῖς ἀγάλμασι τουτέοισι εὔχονται, ὁκοῖον εἴ τις τοῖς

αἴτιον οὕτως λέγων· ἔνθα †δεόντι† ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτὶ ζώντων καὶ νεκρῶν—Respic. fort. Clemens Alex. Strom. v. 1, p. 649: οἶδεν γὰρ καὶ οὗτος (scil. Heraclitus) ἐκ τῆς βαρβάρου φιλοσοφίας μαθὼν τὴν διὰ πυρὸς κάθαρσιν τῶν κακῶς βεβιωκότων, ἣν ὕστερον ἐκπύρωσιν ἐκάλεσαν οἱ Στωικοί· καθ᾽ ὃν καὶ τὸν ἰδίως ποιὸν ἀναστήσεσθαι δογματίζουσι (conf. Plutarchus de Def. orac. 10, p. 415; Tatianus Or. ad Graec. 3).

CXXIV. Clemens Alex. Protrept. 2, p. 18 (=Euseb. P. E. ii. 3, p. 66): ἄξια μὲν οὖν νυκτὸς τὰ τελέσματα καὶ πυρὸς καὶ τοῦ μεγαλήτορος, μᾶλλον δὲ ματαιόφρονος, Ἐρεχθειδῶν δήμου, πρὸς δὲ καὶ τῶν ἄλλων Ἑλλήνων, οὕστινας μένει τελευτήσαντας ἅσσα οὐδὲ ἔλπονται. τίσι δὴ μαντεύεται Ἡράκλειτος ὁ Ἐφέσιος; νυκτιπόλοις μάγοις βάκχοις λήναις μύσταις· τούτοις ἀπειλεῖ τὰ μετὰ θάνατον, τούτοις μαντεύεται τὸ πῦρ. τὰ γὰρ νομιζόμενα κατ᾽ ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυοῦνται [μυεῦνται Euseb.]. νόμος οὖν καὶ ὑπόληψις κενὴ κτέ.

CXXV. Clemens Alex. Protrept. 2, p. 19 (=Euseb. P. E. ii. 3, p. 67) ad fr. CXXIV citatus—Respic. Arnobius adv. Nat. v. 29: ac ne quis forte a nobis tam impias arbitretur confictas res esse, Heraclito testi non postulamus ut credat, nec mysteriis volumus quid super talibus senserit ex ipsius accipiat lectione: totam interroget Graeciam, quid sibi velint hi phalli, quos per rura per oppida mos subrigit et veneratur antiquus, inveniet causas esse eas quas dicimus.

CXXVI. Clemens Alex. Protrept. 4, p. 44: σὺ δὲ ἀλλ᾽ εἰ μὴ προφήτιδος ἐπακούεις, τοῦ γε σοῦ ἄκουσον φιλοσόφου, τοῦ Ἐφεσίου Ἡρακλείτου,

---

CXXV. μυεῦνται Euseb.: μυοῦνται Clementis codd.; sed v. Bernays de Epp. Heraclit. p. 134.

CXXVI. οὔ τι ed. Hoeschel. (et codd. Oxon.): οὔτε vulg.

δόμοισι λεσχηνεύοιτο, οὔ τι γινώσκων θεοὺς οὐδ᾽ ἥρωας, οἵτινές εἰσι.

CXXVII.

Εἰ μὴ γὰρ Διονύσῳ πομπὴν ἐποιεῦντο καὶ ὕμνεον ᾆσμα αἰδοίοισι, ἀναιδέστατα εἴργαστ᾽ ἄν· ὡυτὸς δὲ Ἀΐδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ ληναΐζουσι.

CXXVIII.

Iamblichus de Myst. v. 15: θυσιῶν τοίνυν τίθημι διττὰ εἴδη· τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ᾽ ἑνὸς ἄν ποτε γένοιτο σπανίως, ὥς φησιν Ἡράκλειτος, ἤ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν· τὰ δ᾽ ἔνυλα καὶ σωματοειδῆ καὶ διὰ μεταβολῆς συνιστάμενα, οἷα τοῖς ἔτι κατεχομένοις ὑπὸ τοῦ σώματος ἁρμόζει.

τὴν ἀναισθησίαν ὀνειδίζοντος τοῖς ἀγάλμασι· Καὶ τοῖς ἀγάλμασι τουτέοισιν εὔχονται ὁκοῖον εἴ τις δόμοις λεσχηνεύοιτο—Origenes c. Cels. i. 5, p. 6: ἐν τοῖς ἑξῆς οὖν θέλων (scil. Celsus) αὐτὸ κοινοποιῆσαι ὡς οὐ πρῶτον ὑπὸ τούτου εὑρεθέν, ἐκτίθεται Ἡρακλείτου λέξιν τὴν λέγουσαν· Ὅμοια, ὡς εἴ τις τοῖς δόμοις λεσχηνεύοιτο, ποιεῖν τοὺς προσιόντας ὡς θεοῖς τοῖς ἀψύχοις—Idem c. Cels. vii. 62, p. 384 (e Celso): καὶ μὴν καὶ Ἡράκλειτος ὧδέ πως ἀποφαίνεται· Καὶ τοῖς ἀγάλμασι τουτέοισιν εὔχονται, ὁκοῖον εἴ τις τοῖς δόμοισι λεσχηνεύοιτο οὔ τι γιγνώσκων θεοὺς οὐδ᾽ ἥρωας, οἵτινές εἰσι (mox etiam 65, p. 386).

CXXVII. Plutarchus de Iside 28, p. 362: καὶ μέντοι Ἡρακλείτου τοῦ φυσικοῦ λέγοντος, Ἅιδης καὶ Διόνυσος οὗτος ὅτε οὖν μαίνονται καὶ ληραίνουσιν, εἰς ταύτην ὑπάγουσι τὴν δόξαν· οἱ γὰρ ἀξιοῦντες Ἅιδην λέγεσθαι τὸ σῶμα, τῆς ψυχῆς οἷον παραφρονούσης καὶ μεθυούσης ἐν αὐτῷ, γλίσχρως ἀλληγοροῦσι—Clemens Alex. Protrept. 2, p. 30: ὑπόμνημα τοῦ πάθους τούτου μυστικὸν φαλλοὶ κατὰ πόλεις ἀνίστανται Διονύσῳ· Εἰ μὴ γὰρ Διονύσῳ πομπὴν ἐποιοῦντο καὶ ὕμνεον ᾆσμα αἰδοίοισιν, ἀναιδέστατα εἴργασται, φησὶν Ἡράκλειτος· ὡυτὸς δὲ Ἀΐδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ ληναΐζουσιν, οὐ διὰ τὴν μέθην τοῦ σώματος, ὡς ἐγὼ οἶμαι, τοσοῦτον ὅσον διὰ τὴν ἐπονείδιστον τῆς ἀσελγείας ἱεροφαντίαν.

CXXVII. ἐποιοῦντο vulg.: ἐποιεῦντο Lobeck || ᾄσματα, ἃ αἰδοίοισιν Dindorf || ἂν ἀϊκέστατα mutata interpunctione Lobeck || εἴργασται vulg.: εἴργαστ᾽ ἄν Schleiermacher: εἴργαστο Lobeck.

CXXIX.

Ἄκεα.

CXXX.

Καθαίρονται δὲ αἵματι μιαινόμενοι ὥσπερ ἂν εἴ τις ἐς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο.

CXXIX. Iamblichus de Myst. i. 11: *καὶ διὰ τοῦτο εἰκότως αὐτὰ* (scil. *ἃ προσάγεται τοῖς θεοῖς*) *ἄκεα Ἡράκλειτος προσεῖπεν ὡς ἐξακεσόμενα* [*ἐξακούμενα* Cobet] *τὰ δεινὰ καὶ τὰς ψυχὰς ἐξάντεις ἀπεργαζόμενα τῶν ἐν τῇ γενέσει συμφορῶν* (conf. Hom. Od. xxii. 481: *οἶσε θέειον, γρηῦ, κακῶν ἄκος*).

CXXX. Apollonius Epist. 27: *αἵματι βωμοὺς μιαίνουσιν ἱερεῖς, εἶτα θαυμάζουσί τινες, πόθεν αἱ πόλεις ἀτυχοῦσιν ὅταν μεγάλα δυσθετήσωσιν. ὢ τῆς ἀμαθίας. Ἡράκλειτος ἦν σοφός, ἀλλ' οὐδ' ἐκεῖνος Ἐφεσίους ἔπεισε μὴ πηλῷ πηλὸν καθαίρεσθαι* — Gregorius Naz. Or. xxv. (xxiii.) 15, p. 466 ed. Par. 1778: *σύγχει μὲν καὶ τὴν Ἑλλήνων δεισιδαιμονίαν ὡς πρότερον καὶ τὴν πολύθεον αὐτῶν ἀθεΐαν καὶ τοὺς παλαιοὺς θεοὺς καὶ τοὺς νέους, καὶ τοὺς αἰσχροὺς μύθους καὶ τὰς αἰσχροτέρας θυσίας πηλῷ πηλὸν καθαιρόντων, ὡς αὐτῶν τινος λέγοντος ἤκουσα*—Elias Cretensis in Greg. Naz. l. l. (cod. Vat. Pii II. 6, fol. 90 r.): *οὓς διαπαίζων Ἡράκλειτος, Καθαίρονται δέ, φησίν, αἵματι μιαινόμενοι ὥσπερ ἂν εἴ τις εἰς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο. τὸ γὰρ τοῖς τῶν ἀλόγων ζῴων σώμασί τε καὶ αἵμασιν, ἃ τοῖς θεοῖς αὐτῶν προσέφερον, οἴεσθαι καθαίρειν τὰς τῶν ἰδίων σωμάτων ἀκαθαρσίας τὰς ἐκ τῶν μυσαρῶν καὶ ἀκαθάρτων μίξεων ἐγκεχρωσμένας αὐτοῖς, ὅμοιόν γε* <*καὶ*> *τὸν ἐκ τοῦ πηλοῦ ἐμπεπλασμένον ῥύπον τοῖς σώμασι πηλῷ πειρᾶσθαι ἀπορρύπτειν* [Latine extant haec in versione Billii p. 634 ed. Par. 1583: Graeca refero accepta Ignatio Guidi, qui rogatu Adolphi Neubaueri humanissime ea in meum usum e cod. Vat. exscripsit]—Respic. fort. Plotinus Enn. i. 6, p. 54: *οἷον εἴ τις δὺς εἰς πηλὸν ἢ βόρβορον, τὸ μὲν ὅπερ εἶχε κάλλος μηκέτι προφαίνοι, τοῦτο δ' ὁρῷτο ὃ παρὰ τοῦ πηλοῦ ἢ βορβόρου ἀπεμάξατο· ᾧ δὴ τὸ αἰσχρὸν προσθήκῃ τοῦ ἀλλοτρίου προσῆλθε, καὶ ἔργον αὐτῷ, εἴπερ ἔσται πάλιν καλός, ἀπονιψαμένῳ καὶ καθηραμένῳ ὅπερ ἦν εἶναι.*

SPURIA.

CXXXI.

Diog. Laert. ix. 7: *πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη.*

=fr. 52 Schuster.: conf. Schleiermacher p. 495.

CXXXII.

Diog. Laert. ix. 7: *τήν τε οἴησιν ἱερὰν νόσον ἔλεγε.*

=fr. 65 Schl.; 33 Schust.: v. tamen Floril. Monac. 195, p. 282 Meinek.

CXXXIII.

Apollonius Epist. 18: *Ἡράκλειτος ὁ φυσικὸς ἄλογον εἶναι κατὰ φύσιν ἔφησε τὸν ἄνθρωπον. εἰ δὲ τοῦτο ἀληθές, ὥσπερ ἐστὶν ἀληθές, ἐγκαλυπτέος ἕκαστος ὁ ματαίως ἐν δόξῃ γενόμενος.*

=Schleiermacher ad fr. 65.

CXXXIV.

Floril. Monac. 199, p. 283: *Ἡράκλειτος ἔφη· οἴησις προκοπῆς ἐγκοπὴ προκοπῆς.*

=fr. 34 Schust.: v. Schleiermacher p. 252. Conf. Philo ap. Ioann. Damasc. S. P. 693 E, fr. p. 652 Mang.: *οἴησις, ὡς ὁ τῶν ἀρχαίων λόγος, ἐστὶν ἐγκοπὴ προκοπῆς*—Stob. Floril. iv. 88: *Βίων ἐρωτηθεὶς τί ἐστιν ἄνοια, εἶπε· προκοπῆς ἐγκοπή*—Maximus Conf. Serm. 34, p. 624 Combef.: *Ἡράκλειτος ὁ φυσικὸς οἴησιν ἔλεγεν ἐγκοπὴν προκοπῆς*—(conferri iubet *Bernaysius* Schol. Vat. ad Hippocrat. *περὶ εὐσχημοσύνης* 4, t. ix. p. 231 Littr.: *ἡ γὰρ οἴησις οὐκ ἐᾷ πράττειν ἃ δεῖ, ἀμαθίας καὶ ἀτεχνίας σημεῖον τυγχάνον· οὔτε γὰρ βουλήν, οὐ σκέψιν, οὐχ ὑπομονὴν οἶδεν ὅλως, δι' ὧν τὰ καλὰ πάντα ἀνύονται· διόπερ ὁ τὴν οἴησιν ἔχων οὔθ' ἑαυτὸν οὔτ' ἄλλον καλὸν ἐργάσασθαι δύναται*).

CXXXV.

Floril. Monac. 200, p. 283: *ὁ αὐτὸς τὴν παιδείαν ἕτερον ἥλιον εἶναι τοῖς πεπαιδευμένοις ἔλεγε.*

=Schuster ad fr. 34.

CXXXVI.

Maximus Conf. Serm. 8, p. 557: *Ἡρακλείτου φυσικοῦ. ἡ εὔκαιρος χάρις λιμῷ καθάπερ τροφὴ ἁρμόττουσα τὴν τῆς ψυχῆς ἔνδειαν ἰᾶται.*

v. Schleiermacher p. 522.

CXXXVII.

Maximus Conf. Serm. 46, p. 646: *Ἡρακλείτου. συντομωτάτην ὁδὸν ὁ αὐτὸς* [Theophrastus?] *ἔλεγεν εἰς εὐδοξίαν τὸ γενέσθαι ἀγαθόν.*

CXXXVIII.

Schol. ad Eurip. Hec. 134, t. i. p. 254 Dind.: *κόπις· ὁ λάλος . . . κοπίδας τε τὰς τῶν λόγων τέχνας ἄλλοι τε καὶ Τίμαιος οὕτως γράφει· Ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν εὑράμενον τῶν ἀληθινῶν κοπίδων μηδὲ τὸν ὑφ' Ἡρακλείτου κατηγορούμενον, ἀλλ' αὐτὸν Ἡράκλειτον εἶναι τὸν ἀλαζονευόμενον.*

(nolo quae Timaeus ante oculos habuit Heraclito adtribuere: si quid in loco misere corrupto cernere licet, illud saltem videre videor, restituenda esse *Πρωταγόραν* et *Ἡρακλείδην* nomina. Heraclidis enim Pontici exstitit dialogus *περὶ τοῦ ῥητορεύειν ἢ Πρωταγόρας* inscriptus; saepius autem, teste Bastio ad Gregor. Corinth. p. 603, *Πρωταγόρας* et *Πυθαγόρας* a scribis confunduntur. Neque adsentior Bergkio Heracliti nomen reponenti in Schol. ad Eurip. Alc. 983, loco artissime cohaerente cum iis quae ex Heraclide Pontico Clemens Alex. Protrept. 2, p. 34, Photius Lex. s. v. *λύσιοι τελεταί* servaverunt. Apud Orion. Etym. s. v. *κάμηρος* non Heraclitum sed Heraclidem grammaticum, qui *περὶ ἐτυμολογίας* scripsit, citari animadvertit iam Sturzius ad Orion. p. 254: conf. Cyrill. Lex. in Crameri A. P. iv. p. 184.)

APPENDIX.

APPENDIX.

I — VITA HERACLITI

E DIOGENE LAERTIO IX. I.

(Sigla, quibus in adnotatione critica usus sum, haec sunt :—A = cod. Arundelianus : C = cod. Cantabrigiensis (vix duas partes orationis continet) : L = cod. Laurentianus LXIX 13 : M = cod. Laur. LXIX 28 : N = cod. Laur. LXIX 35 : *Fr.* = editio Frobeniana : *St.* = ed. Stephanica prior : *Cob.* = ed. Cobetiana. Tribus autem in locis, amicorum opera et studio, citare potui lectiones codicis Marciani 393 et Burbonici 253. Laurentianos, rogatu Fausti Lasinii, in meum usum contulit Nicolaus d' Anziani, hypobibliothecarius Florentinus : Arundelianum et Cantabrigiensem ipse excussi.)

---

(1) Ἡράκλειτος Βλύσωνος ἤ, ὥς τινες, Ἡρακίοντος Ἐφέσιος. οὗτος ἤκμαζε μὲν κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν ὀλυμπιάδα· μεγαλόφρων δὲ γέγονε παρ' ὁντιναοῦν καὶ ὑπερόπτης, ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον ἐν ᾧ φησι· Πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον· εἶναι γὰρ ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην ᾗ οἴεται κυβερνᾶσθαι πάντα διὰ πάντων. τόν τε Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως. (2) ἔλεγε δὲ καί· Ὕβριν χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν· καί, Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκως ὑπὲρ τείχεος. καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον ἐν

---

2 ἐννάτην *Fr. St.* || 4 πολυμαθίη AC Marc. Burb. *St.* : πολυμαθείη MN *Fr.* : πολυμαθῆ L : πουλυμαθητίη *Cob.* || 5 αὖθις ACL Marc. *St.* || τε] δὲ ALM Marc. || Ξενοφάνεά τε vulg. : om. τε L *Cob.* || 6 ᾗ οἴεται κυβερνᾶσθαι scripsi : ἥτε οἱ ἐγκυβερνήσει *St.* : ὅτε ἡ κυβερνῆσαι Burb. : ὅτ' ἐγκυβερνῆσαι ACLMN Marc. *Fr.* : 'qua gubernentur' Ambrosius : ἥτ' οἴη κυβερνήσει Schleiermacher *Cob.* || πάντων] πάντα A || 7 ῥάπτεσθαι C || 8 σβεννύην L : σβεννύναι M *Cob.* || ἢ πυρκ.] ὑπὲρ καΐην A || 9 post νόμου add. ὑπὲρ τοῦ γενομένου L : ὑπὲρ τοῦ γινομένου AM || τείχεως L *Fr.* || 10 ἑτέρον AM

οἷς φησιν· Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀποθανεῖν πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον ἑωυτῶν ὀνήιστον ἐξέβαλον λέγοντες, Ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω· εἰ δέ τις τοιοῦτος, ἄλλῃ τε καὶ μετ' ἄλλων. ἀξιούμενος δὲ καὶ νόμους θεῖναι πρὸς αὐτῶν ὑπερεῖδε διὰ τὸ ἤδη κεκρατῆσθαι τῇ πονηρᾷ πολιτείᾳ τὴν πόλιν. (3) ἀναχωρήσας δὲ εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος μετὰ τῶν παίδων ἠστραγάλιζε· περιστάντων δ' αὐτὸν τῶν Ἐφεσίων, Τί, ὦ κάκιστοι, θαυμάζετε; ἔφη· ἢ οὐ κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι; καὶ τελος μισανθρωπήσας καὶ ἐκπατήσας ἐν τοῖς ὄρεσι διῃτᾶτο πόας σιτούμενος καὶ βοτάνας. καὶ μέντοι καὶ διὰ τοῦτο περιτραπεὶς εἰς ὕδερον κατῆλθεν εἰς ἄστυ καὶ τῶν ἰατρῶν αἰνιγματώδως ἐπυνθάνετο εἰ δύναιντο ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι· τῶν δὲ μὴ συνέντων, αὑτὸν εἰς βούστασιν κατορύξας τῇ τῶν βολίτων ἀλέᾳ ἤλπισεν ἐξατμισθήσεσθαι· οὐδὲν δ' ἀνύων οὐδ' οὕτως ἐτελεύτα βιοὺς ἔτη ἑξήκοντα. (4) καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν οὕτως ἔχον·

πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
ὧδε διαντλήσας δύσμορος εἶτ' ἔθανεν.
σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδατι φέγγος
ἔσβεσεν ἐν βλεφάροις καὶ σκότον ἠγάγετο.

Ἕρμιππος δέ φησι λέγειν αὐτὸν τοῖς ἰατροῖς εἴ τις δύναται τὰ ἔντερα πιέσας τὸ ὑγρὸν ἐξερᾶσαι· ἀπειπόντων δέ, θεῖναι αὑτὸν εἰς τὸν ἥλιον καὶ κελεύειν τοὺς παῖδας βολίτοις καταπλάττειν· οὕτω δὴ κατατεινόμενον δευτεραῖον τελευτῆσαι καὶ ταφῆναι ἐν τῇ ἀγορᾷ. Νεάνθης δ' ὁ Κυζικηνός φησι μὴ δυνηθέντα αὐτὸν ἀποσπάσαι τὰ βόλιτα μεῖναι καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθέντα κυνόβρωτον γενέσθαι. (5) γέγονε δὲ θαυμάσιος ἐκ παίδων, ὅτε καὶ νέος ὢν ἔφασκε μηδὲν εἰδέναι, τέλειος μέντοι γενόμενος πάντα ἐγνωκέναι· ἤκουσέ τε οὐδενός, ἀλλ' αὑτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑωυτοῦ. Σωτίων δέ φησιν εἰρηκέναι τινὰς Ξενοφάνους αὐτὸν ἀκηκοέναι, λέγειν τε Ἀρίστωνα ἐν τῷ περὶ Ἡρακλείτου καὶ τὸν ὕδερον αὐτὸν θεραπευθῆναι, ἀποθανεῖν δὲ ἄλλῃ νόσῳ. τοῦτο δὲ καὶ Ἱππόβοτός φησι. τὸ δὲ φερόμενον

2 ἑαυτὸν L || ὀνήιστον Huebner Cob. : ὀνηιστὸν vulg. : ἠιστὸν M || 3 ὑμέων C || μηδεὶς Cob. : μὴ δὲ ἴσον ἠιστὸς M || ἄλλοι Fr. || 6 παραστάντων C || 7 ἔφη] εἶπεν N || ἡμῶν M || 8 διητοῦτο Fr. || 9 καὶ διὰ] καὶ om. A Cob. || εἰς om. L Fr. || 10 εἰς om. C || αἰνιγματωδῶς vulg. || 11 αὑτὸν vulg. : αὐτὸν St. Cob. || εἰς om. M || βούστησιν Fr. : βουστάσιον Cob. || 12 ἐξατμίζεσθαι AL || 16 ὧδε om. L : τῆδε M || δύσμονος M || 18 ἐκ βλεφάρων Fr. St. || σκότος M || 19 φησι λέγειν] λέγει M || ἰατροῖς] ἰατροῖς εἰπεῖν M || δύναιτο M || 20 ἐξᾶραι M St. || 21 πόδας M || 22 κηζικηνὸς A || 23 καὶ om. C || διὰ] δὴ M || 24 κυνόβροτον C Fr. || 25 ὢν om. C Fr. ἔφασκε] ἔφασκε δὲ L || εἶναι L Fr. (conf. Maxim. Conf. Serm. 56, p. 663 Combef.) || 26 αὑτὸν St. : α τὸν codices Fr. : ἑωυτὸν Cob. || διζήσασθαι codex Menagii, Cob. (coniecerat Casaubonus): διζήσεσθαι ACLN Marc. Fr. St. : διαζήσεσθαι M Burb.: 'semet investigandae veritati dedisse' Ambrosius || ἑωυτοῦ AM Marc. Cob.: ἑαυτοῦ CLN Burb. Fr. St. || 27 δ' ἔφησεν AL || 29 ἱππόβωτος L

αὐτοῦ βιβλίον ἔστι μὲν ἀπὸ τοῦ συνέχοντος περὶ φύσεως, διῄρηται δὲ εἰς τρεῖς λόγους, εἴς τε τὸν περὶ τοῦ παντὸς καὶ πολιτικὸν καὶ θεολογικόν. (6) ἀνέθηκε δὲ αὐτὸ εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν, ὡς μέν τινες, ἐπιτηδεύσας ἀσαφέστερον γράψαι, ὅπως οἱ δυνάμενοι προσίοιεν αὐτῷ καὶ μὴ ἐκ τοῦ δημώδους εὐκαταφρόνητον ᾖ. τοῦτον δὲ καὶ ὁ Τίμων ὑπογράφει λέγων,

τοῖς δ' ἔνι κοκκυστὴς ὀχλολοίδορος Ἡράκλειτος
αἰνικτὴς ἀνόρουσε.

Θεόφραστος δέ φησιν ὑπὸ μελαγχολίας τὰ μὲν ἡμιτελῆ τὰ δὲ ἄλλοτε ἄλλως ἔχοντα γράψαι. σημεῖον δ' αὐτοῦ τῆς μεγαλοφροσύνης Ἀντισθένης φησὶν ἐν διαδοχαῖς· ἐκχωρῆσαι γὰρ τἀδελφῷ τῆς βασιλείας. τοσαύτην δὲ δόξαν ἔσχε τὸ σύγγραμμα ὡς καὶ αἱρετιστὰς ἀπ' αὐτοῦ γενέσθαι τοὺς κληθέντας Ἡρακλειτείους. (7) ἐδόκει δὲ αὐτῷ καθολικῶς μὲν τάδε· ἐκ πυρὸς τὰ πάντα συνεστάναι καὶ εἰς τοῦτο ἀναλύεσθαι, πάντα τε γίνεσθαι καθ' εἱμαρμένην καὶ διὰ τῆς ἐναντιοτροπῆς ἡρμόσθαι τὰ ὄντα, καὶ πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη. εἴρηκε δὲ καὶ περὶ τῶν ἐν τῷ κόσμῳ συνισταμένων πάντων . . . . παθῶν, ὅτι τε ὁ ἥλιός ἐστι τὸ μέγεθος ὅσος φαίνεται. λέγει δὲ καί, Ψυχῆς πείρατα οὐκ ἂν ἐξεύροιο πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει· τήν τε οἴησιν ἱερὰν νόσον ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι. λαμπρῶς τε ἐνίοτε ἐν τῷ συγγράμματι καὶ σαφῶς ἐκβάλλει, ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι καὶ δίαρμα ψυχῆς λαβεῖν· ἥ τε βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον. (8) καὶ τὰ ἐπὶ μέρους δὲ αὐτῷ ὧδε ἔχει τῶν δογμάτων· πῦρ εἶναι στοιχεῖον καὶ πυρὸς ἀμοιβῇ τὰ πάντα, ἀραιώσει καὶ πυκνώσει γινόμενα· σαφῶς δὲ οὐδὲν ἐκτίθεται. γίνεσθαί τε πάντα κατ' ἐναντιότητα καὶ ῥεῖν τὰ ὅλα ποταμοῦ δίκην· πεπεράνθαι τε τὸ πᾶν καὶ ἕνα εἶναι κόσμον· γεννᾶσθαί τε αὐτὸν ἐκ πυρὸς καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα, τοῦτο δὲ γίνεσθαι καθ' εἱμαρμένην. τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον καλεῖσθαι πόλεμον καὶ ἔριν, τὸ δ' ἐπὶ τὴν ἐκπύρωσιν ὁμολογίαν καὶ εἰρήνην· καὶ τὴν

1 διείρηται C || 2 πολιτικὸν] τὸν πολιτικὸν Cob. || 4 προσιοιέναι M || 5 εἴη Cob. || 6 δὲ νὶ LM : ἔπι Meinekius coni. || κοκκυστὴς L St. Cob. : κοκκυστοὶς A : κοκκυσθὴς N : κοκνίστοις M : κυκηστὴς Fr. || 7 αἰνηκτὴς M || 10 ἐν ταῖς διατριβαῖς AL || διαχωρῆσαι L || 11 λέγεσθαι ? || 12 ἠρακλητείους ACN Fr. || 13 τε om. A : δὲ M || 15 τῷ om. MN || 16 πάντων Cob. Ambrosius : om. codices Fr. St.; lacunam indicavi || [παθῶν] Cob. || 17 λέγει Lipsius Hermannus Cob. : λέγεται codices Fr. St. || πείρατα Hermannus Cob. : πειρᾶται ὃν ALN Marc. : παρᾶται ὃν Fr. : πειρατέον M Burb. : περατέον ὃν St. || ἐξεύροιο Cob. : ἐξεύροι ὁ vulg. : εὕροι ὁ L || 19 σοφῶς AM St. || ἐκβάλλει ὥστε M St. Cob. : ἐκβόλως τε ALN Fr. : 'loquitur' Ambrosius : fort. ἐκβοᾷ ὥστε || 20 τὸν] τὸ A m. pr. Fr. || τό τε βραχὺ Fr. || 21 καὶ τὸ βάρος om. Fr. || 22 ἀμοιβῇ scripsi : ἀμοιβὴν vulg. : 'vicissitudine' Ambrosius || 23 ἀραίωσι A || γινόμενα] τὰ γινόμενα CN || ἐκτιθέναι C || 24 τε om. Fr. St. || πεπεράνθαι Cob. : πεπερᾶσθαι vulg. || 26 ἐναλὰξ L

μεταβολὴν ὁδὸν ἄνω κάτω, τόν τε κόσμον γίνεσθαι κατὰ ταύτην. (9) *πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι συνιστάμενόν τε γίνεσθαι ὕδωρ, πηγνύμενον δὲ τὸ ὕδωρ εἰς γῆν τρέπεσθαι· καὶ ταύτην ὁδὸν ἐπὶ τὸ κάτω εἶναι λέγει· πάλιν τε αὖ τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι, ἐκ δὲ τούτου τὰ λοιπά, σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυμίασιν ἀνάγων τὴν ἀπὸ τῆς θαλάττης· αὕτη δέ ἐστιν ἡ ἐπὶ τὸ ἄνω ὁδός. γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάττης ἃς μὲν λαμπρὰς καὶ καθαράς, ἃς δὲ σκοτεινάς. αὔξεσθαι δὲ τὸ μὲν πῦρ ὑπὸ τῶν λαμπρῶν, τὸ δὲ ὑγρὸν ὑπὸ τῶν ἑτέρων. τὸ δὲ περιέχον ὁποῖόν ἐστιν οὐ δηλοῖ· εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ κοῖλον πρὸς ἡμᾶς, ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας, ἃς εἶναι τὰ ἄστρα.* (10) *λαμπροτάτην δὲ εἶναι τὴν τοῦ ἡλίου φλόγα καὶ θερμοτάτην· τὰ μὲν γὰρ ἄλλα ἄστρα πλεῖον ἀπέχειν ἀπὸ γῆς καὶ διὰ τοῦτο ἧττον λάμπειν καὶ θάλπειν· τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου· τὸν μέντοι ἥλιον ἐν διαυγεῖ καὶ ἀμιγεῖ κεῖσθαι καὶ σύμμετρον ἀφ' ἡμῶν ἔχειν διάστημα· τοιγάρτοι μᾶλλον θερμαίνειν τε καὶ φωτίζειν. ἐκλείπειν τε ἥλιον καὶ σελήνην ἄνω στρεφομένων τῶν σκαφῶν· τούς τε κατὰ μῆνα τῆς σελήνης σχηματισμοὺς γίνεσθαι στρεφομένης ἐν αὐτῇ κατὰ μικρὸν τῆς σκάφης. ἡμέραν τε καὶ νύκτα γίνεσθαι καὶ μῆνας καὶ ὥρας ἐτείους καὶ ἐνιαυτοὺς ὑετούς τε καὶ πνεύματα καὶ τὰ τούτοις ὅμοια κατὰ τὰς διαφόρους ἀναθυμιάσεις.* (11) *τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου ἡμέραν ποιεῖν, τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν νύκτα ἀποτελεῖν· καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐξανόμενον θέρος ποιεῖν, ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάζον χειμῶνα ἀπεργάζεσθαι· ἀκολούθως δὲ τούτοις καὶ περὶ τῶν ἄλλων αἰτιολογεῖ. περὶ δὲ τῆς γῆς οὐδὲν ἀποφαίνεται ποία τίς ἐστιν, ἀλλ' οὐδὲ περὶ τῶν σκαφῶν. καὶ ταῦτα μὲν ἦν αὐτῷ τὰ δοκοῦντα. τὰ δὲ περὶ Σωκράτους καὶ ὅσα ἐντυχὼν τῷ συγγράμματι εἴποι, κομίσαντος Εὐριπίδου, καθά φησιν Ἀρίστων, ἐν τῷ περὶ Σωκράτους εἰρήκαμεν.* (12) *Σέλευκος μέντοι φησὶν ὁ γραμματικὸς Κρότωνά τινα ἱστορεῖν ἐν τῷ Κατακολυμβητῇ, Κράτητά τινα πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι τὸ βιβλίον. ὃν καὶ εἰπεῖν Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. ἐπιγράφουσι δὲ αὐτὸ οἱ μὲν Μούσας, οἱ δὲ περὶ φύσεως, Διόδοτος δὲ*

ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου,

---

1 *μεταβολὴν* om. L || 3 *λέγει* L *Cob.*: om. vulg. || 4 *αὖ* scripsi: *αὐτὴν* vulg. || 5 *πάντα* om. ACM *Fr.* || *ἐπὶ τὴν*] *ἐπὶ* L: *ἐπὶ τὴν ἀναθυμίασιν* om. *Fr.* || *ἄγων* *Fr.* || 5–6 *αὕτη .... θαλάττης* om. A || 7 *ἀπὸ* C || 10 *ἀθριζομένας* A || 13 *διὰ τοῦ* om. *Fr.* || 14 *διαυγῆ καὶ ἀμιγῆ* C *Fr.* || fort. *κινεῖσθαι* || 18 *σκάφεις* A || 19 *ἐτείους* A *St. Cob.*: om. *Fr.*: *ἐτίους* C: *αἰτίους* LN: *ἔτους* M || *τὰς* om. C || 21 *ἐπικρατήσασα* L || 22 *ἀποτελεῖ* L || 23 *ὑπερπλεονάζον* M || *ἀπεργάσασθαι* L || *ἀκολούθως δὲ*] *δὲ* om. A || 24 *τούτων* M || *ἄλων* A || 25 *ποία τίς ἐστιν ἀλλ' οὐδὲ*] *καὶ* L || *ἦν* L *Cob.*: *εἶναι* vulg. || 27 *στράτων* M || 28 *τινα* om. AM || 30 *ὃν* *Fr. St. Cob.*: om. codices || 31 *αὐτὸ*] *αὐτῷ* AL || 32 *οἰάσκισμα* MN || *σταθμὸν* Buttmannus *Cob.*

ἄλλοι γνώμην †ἠθῶν† τρόπον κόσμου ἑνὸς τῶν ξυμπάντων. φασὶ δὲ αὐτὸν ἐρωτηθέντα διὰ τί σιωπᾷ, φάναι, Ἵνα ὑμεῖς λαλῆτε. ἐπόθησε δὲ αὐτοῦ καὶ Δαρεῖος μετασχεῖν καὶ ἔγραψεν ὧδε πρὸς αὐτόν.

(13) Βασιλεὺς Δαρεῖος πατρὸς Ὑστάσπεω Ἡράκλειτον Ἐφέσιον σοφὸν ἄνδρα προσαγορεύει χαίρειν.

Καταβέβλησαι λόγον περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον· ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν δοκεῖ δύναμίν τινα περιέχειν θεωρίας κόσμου τε τοῦ σύμπαντος καὶ τῶν ἐν τούτῳ γινομένων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει· τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα, ὥστε καὶ τοὺς ἐπὶ πλεῖστον μετεσχηκότας συγγραμμάτων διαπορεῖσθαι τῆς ὀρθῆς δοκούσης γεγράφθαι παρὰ σοὶ ἐξηγήσεως. βασιλεὺς οὖν Δαρεῖος Ὑστάσπους βούλεται τῆς σῆς ἀκροάσεως μετασχεῖν καὶ παιδείας Ἑλληνικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν καὶ βασίλειον οἶκον. (14) *Ἕλλανες γὰρ ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφοῖς ἀνδράσιν ὄντες παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς σπουδαίαν ἀκοὴν καὶ μάθησιν. παρ' ἐμοὶ δὲ ὑπάρχει σοι πᾶσα μὲν προεδρία, καθ' ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις καὶ βίος εὐδόκιμος σαῖς παραινέσεσιν.*

Ἡράκλειτος Ἐφέσιος βασιλεῖ Δαρείῳ πατρὸς Ὑστάσπεω χαίρειν.

Ὁκόσοι τυγχάνουσιν ὄντες ἐπιχθόνιοι τῆς μὲν ἀληθείης καὶ δικαιοπραγμοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δοξοκοπίῃ προσέχουσι κακῆς ἕνεκα ἀνοίης. ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης καὶ κόρον φεύγων παντὸς οἰκειούμενον φθόνῳ καὶ διὰ τὸ περιίστασθαι ὑπερηφανίας, οὐκ ἂν ἀφικοίμην εἰς Περσῶν χώρην, ὀλίγοις ἀρκεόμενος κατ' ἐμὴν γνώμην.

Τοιοῦτος μὲν ἁνὴρ καὶ πρὸς βασιλέα. (15) *Δημήτριος δέ φησιν ἐν τοῖς ὁμωνύμοις καὶ Ἀθηναίων αὐτὸν ὑπερφρονῆσαι, δόξαν ἔχοντα παμπλείστην· καταφρονούμενόν τε ὑπὸ τῶν Ἐφεσίων ἑλέσθαι μᾶλλον τὰ οἰκεῖα. μέμνηται*

---

1 *ἠθῶν* A: *ἤτοι* susp. Bernaysius || *τρόπον κόσμου* scripsi (praeeunte Bernaysio): *τρόπου κόσμον* vulg. (*κόσμον* A) || 2 *λαλεῖτε* LMN || 4 *ὑστάσπεος* A || 5 [*χαίρειν*] *Cob.* || 6 *λόγῳ* L || *φύσιος* *St.* || 7 *ἑρμηνευόμενον* L || *περιέχειν*] *ἔχειν περὶ* L || 9 *ἐπιπλεῖστον* vulg.: *ἐπὶ πλεῖστον* Huebner *Cob.*: *πλείστων* M || 10 *μετεσχηκότας* AN *St. Cob.*: *μετασχηκότας* CLM *Fr.* || *Ἑλληνικῶν* post *συγγραμμάτων* add. *Cob.* || *δοκούσις* A || 11 *παρὰ σοὶ* Huebner *Cob.*: *παρά σοι* vulg. || *ὑστάσπους* AL *Fr. St.*: *ὑστάσπου* CMN *Cob.* || *τῆς* om. M || 13 *Ἕλληνες* Menagius *Cob.* || 14 *ὑπ' αὐτῶν*] *ὑπό τινος* M || 15 *σοι* om. A || 17 *σαῖς παρ.*] *αἷς δὴ παρ. ἀπεκρίνατο οὕτως* M: *σ. π. Ἡράκλειτος ἀπεκρίνατο οὕτως* *Cob.*: add. 'vale. his ille ita respondit' Ambrosius || 19 *ὑστάσπεως* L: *ὑστάσπεος* A || 20 *ἐπιχρόνιοι* *Fr.* || *ἀληθείας* AMN: *ἀληθηΐης* *Cob.* || 21 *δοξοποιίῃ* C || *ἀνίης* C || 22 *ἀναμνηστίην* M || *πάσις* A || *ἐκφεύγων* M || *παντὶ* M: *πάντως* *Cob.* || *οἰκειουμένου* *Fr.* || 23 *φθόνῳ* M *Cob.*: *φθόνου* vulg. || *ὑπερηφανίην* *Cob.* || *ἀφικόμην* AL || 24 *χώραν* M || *ἀρκεσόμενος* L: *ἀρκέμενος* *Fr.* || 25 *ἀνὴρ* *Cob.*: *ὁ ἀνὴρ* C *St.*: *ἀνὴρ* vulg. || 26 *δόξης* *Fr.*

αὐτοῦ καὶ ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ. πλεῖστοί τέ εἰσιν ὅσοι ἐξήγηνται αὐτοῦ τὸ σύγγραμμα· καὶ γὰρ Ἀντισθένης καὶ Ἡρακλείδης ὁ Ποντικὸς Κλεάνθης τε [ὁ Ποντικὸς] καὶ Σφαῖρος ὁ στωικός, πρὸς δὲ Παυσανίας ὁ κληθεὶς Ἡρακλειτιστής, Νικομήδης τε καὶ Διονύσιος· τῶν δὲ γραμματικῶν Διόδοτος, ὃς οὔ φησι περὶ φύσεως εἶναι τὸ σύγγραμμα ἀλλὰ περὶ πολιτείας, τὸ δὲ περὶ φύσεως ἐν παραδείγματος εἴδει κεῖσθαι. (16) Ἱερώνυμος δέ φησι καὶ Σκυθῖνον τὸν τῶν ἰάμβων ποιητὴν ἐπιβαλέσθαι τὸν ἐκείνου λόγον διὰ μέτρου ἐκβαλεῖν. πολλά τε εἰς αὐτὸν ἐπιγράμματα φέρεται, ἀτὰρ δὴ καὶ τόδε·

Ἡράκλειτος ἐγώ. τί μ' ἄνω κάτω ἕλκετ' ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δ' ἔμ' ἐπισταμένοις.
εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι, οἱ δ' ἀνάριθμοι
οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

καὶ ἄλλο τοιόνδε·

μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βίβλον
τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
ὀρφνὴ καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

(17) Γεγόνασι δὲ Ἡράκλειτοι πέντε· πρῶτος αὐτὸς οὗτος· δεύτερος ποιητὴς λυρικός, οὗ ἐστι τῶν δώδεκα θεῶν ἐγκώμιον· τρίτος ἐλεγείας ποιητὴς Ἁλικαρνασεύς, εἰς ὃν Καλλίμαχος πεποίηκεν οὕτως·

εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δ' ἐμὲ δάκρυ
ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που,
ξεῖν' Ἁλικαρνασεῦ, τετράπαλαι σποδιή.
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
ἁρπάκτης Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

τέταρτος Λέσβιος, ἱστορίαν γεγραφὼς Μακεδονικήν· πέμπτος σπουδογέλοιος, ἀπὸ κιθαρῳδίας μεταβεβηκὼς εἰς τόδε τὸ εἶδος.

1 σωκράτου *Fr.* || 3 [ὁ Ποντικὸς] om. *Cob.* || 4 ἡρακλείδης κληθεὶς ὁ νικομηδεὶς M || 6 φύσιν N m. pr. || 7 σκυτινὸν M || ἐπιβαλέσθαι AM *Cob.* : ἐπιβάλλεσθαι LN *Fr. St.* || 8 διὰ μέτρου] ἐκ διαμέτρου L || ἐκβαλλεῖν M : ἐκβάλλειν *Cob.* || 10 μ' ἄνω Meinekius *Cob.* : με ὦν AMN *St.* : με ὧν L : μ' ὧν *Fr.* || 11 δ' ἔμ' *Cob.* : δέ μ' vulg. || 13 ἀδῶ *Fr.* || Φερσεφόνῃ *Cob.* || 15 εἴλεε M *Cob.* : εἴλεε AL *St.* : εἴλησε (εἴλεες m. alt.) N : εἴλεο *Fr.* || 16 τοῦ ἐφεσίου LN *Fr.* || ἀτραπητός *Fr.* || 17 ἣν *Fr.* || 18 λαμπρότερα L || 20 ἁλικαρνασσεὺς A *St.* || 22 δέ με AL || 23 ἐμνηίσθην L : ἐμνίσθην M : ἐμνήσθη *Fr.* || 24 ἴλιον M : ἠέλιον *Fr.* || κατεδύσαμεν MN *St. Cob.* : κατελύσαμεν AL *Fr.* || 25 ἁλικαρνασεῦ LN *Cob.* : ἁλικαρνασοῦ AM *Fr.* : ἁλικαρνασσεῦ *St.* || τετράπαλαι A *St. Cob.* : τέτρα πάλαι LMN : τέφρα πάλαι *Fr.* || 26 αἱ] δὴ AM || 27 ἁρπακτὴρ M *St.* || 28 ἱστορίαν om. *Fr.* || σπουδογέλοιος Huebner *Cob.* : σπουδογελοῖος vulg. || 29 τόδε add. *Cob.* : τοῦτο Menagius

II — HERACLITEA

EX HIPPOCRATIS, QUEM VOCANT, ΠΕΡΙ ΔΙΑΙΤΗΣ LIB. I.

(Numeri Romani capitula editionis Littreianae indicant. In textu constituendo Littreium fere secutus sum, ita tamen ut aliter interdum orationem distinguerem, ac saepius codicis Vindobonensis scripturam revocarem. Graviorem nostri et Littreiani textus discrepantiam semper adnotavi; ceteram lectionis varietatem parcius commemorandam duxi. Siglis usus sum his :— L = Littré : θ = cod. Vindob. : E = cod. Paris. 2255.)

III. Συνίσταται μὲν οὖν τὰ ζῷα τά τε ἄλλα πάντα καὶ ὁ ἄνθρωπος ἀπὸ δυοῖν, διαφόροιν μὲν τὴν δύναμιν συμφόροιν δὲ τὴν χρῆσιν, πυρὸς λέγω καὶ ὕδατος. ταῦτα δὲ συναμφότερα αὐτάρκεά ἐστι τοῖσί τε ἄλλοισι πᾶσι καὶ ἀλλήλοισιν, ἑκάτερον δὲ χωρὶς οὔτε αὐτὸ ἑωυτῷ οὔτε ἄλλῳ οὐδενί. τὴν μὲν οὖν δύναμιν αὐτῶν ἔχει ἑκάτερον τοιήνδε· τὸ μὲν γὰρ πῦρ δύναται πάντα διὰ παντὸς κινῆσαι, τὸ δὲ ὕδωρ πάντα διὰ παντὸς θρέψαι· ἐν μέρει δὲ ἑκάτερον κρατέει καὶ κρατέεται ἐς τὸ μήκιστον καὶ [τὸ] ἐλάχιστον ὡς ἀνυστόν. οὐδέτερον γὰρ κρατῆσαι παντελῶς δύναται διὰ τάδε· τὸ μὲν πῦρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ ὕδατος ἐπιλείπει ἡ τροφή· ἀποτρέπεται οὖν ὁκόθεν μέλλει τρέφεσθαι· τὸ δὲ ὕδωρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ πυρὸς ἐπιλείπει ἡ κίνησις· ἵσταται οὖν ἐν τούτῳ, ὁκόταν δὲ στῇ, οὐκ ἔτι ἐγκρατές ἐστιν, ἀλλ' ἤδη τῷ ἐμπίπτοντι πυρὶ ἐς τὴν τροφὴν καταναλίσκεται. οὐδέτερον δὲ διὰ ταῦτα δύναται κρατῆσαι παντελῶς· εἰ δέ κοτε κρατηθείη καὶ ὁκότερον, οὐδὲν ἂν εἴη τῶν νῦν ἐόντων ὥσπερ ἔχει νῦν· οὕτω δὲ ἐχόντων αἰεὶ ἔσται ταῦτα, καὶ οὐδέτερον καὶ οὐδαμὰ ἐπιλείψει. τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ, ὥσπερ εἴρηταί μοι, αὐτάρκεά ἐστι πᾶσι διὰ παντὸς ἐς τὸ μήκιστον καὶ τοὐλάχιστον ὡσαύτως.

IV. Τούτων δὲ πρόσκειται ἑκατέρῳ τάδε· τῷ μὲν πυρὶ τὸ θερμὸν καὶ τὸ ξηρόν, τῷ δὲ ὕδατι τὸ ψυχρὸν καὶ τὸ ὑγρόν· ἔχει δὲ ἀπ' ἀλλήλων τὸ μὲν πῦρ

13 post ὁκότερον add. πρότερον Lθ || 14 ταῦτα Bernays : τὰ αὐτὰ L vulg. || 15 οὐδέτερον Bernays : οὐδέτερα L vulg. || οὐδὲ ἅμα L vulg. : οὐδαμὰ θ Ermerins

ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν· ἔνι γὰρ ἐν πυρὶ ὑγρότης· τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν· ἔνι γὰρ καὶ ἐν ὕδατι ξηρόν. οὕτω δὲ τούτων ἐχόντων, ἐς πολλὰς καὶ παντοδαπὰς ἰδέας ἀποκρίνονται ἀπ' ἀλλήλων καὶ σπερμάτων καὶ ζῴων, οὐδὲν ὁμοίων ἀλλήλοισιν οὔτε τὴν ὄψιν οὔτε τὴν δύναμιν· ἅτε γὰρ οὔποτε κατὰ τωὐτὸ ἱσταμένων, ἀλλ' αἰεὶ ἀλλοιουμένων ἐπὶ τὰ καὶ ἐπὶ τά, ἀνόμοια ἐξ ἀνάγκης γίνεται καὶ τὰ ἀπὸ τούτων ἀποκρινόμενα. ἀπόλλυται μέν νυν οὐδὲν ἁπάντων χρημάτων, οὐδὲ γίνεται ὅ τι μὴ καὶ πρόσθεν ἦν· συμμισγόμενα δὲ καὶ διακρινόμενα ἀλλοιοῦται· νομίζεται δὲ ὑπὸ τῶν ἀνθρώπων τὸ μὲν ἐξ Ἅιδου ἐς φάος αὐξηθὲν γενέσθαι, τὰ δὲ ἐκ τοῦ φάεος ἐς Ἅιδην μειωθέντα ἀπολέσθαι. ὀφθαλμοῖσι γὰρ πιστεύουσι μᾶλλον ἢ γνώμῃ, οὐχ ἱκανοῖς ἐοῦσιν οὐδὲ περὶ τῶν ὁρεομένων κρῖναι· ἐγὼ δὲ τάδε γνώμῃ ἐξηγέομαι. ζώει γὰρ κἀκεῖνα καὶ τάδε· καὶ οὔτε, εἰ ζῶον, ἀποθανεῖν οἷόν τε, εἰ μὴ μετὰ πάντων· ποῦ γὰρ ἀποθανεῖται; οὔτε τὸ μὴ ὂν γενέσθαι· πόθεν γὰρ ἔσται; ἀλλ' αὔξεται πάντα μειοῦται καὶ ἐς τὸ μήκιστον καὶ [ἐς τὸ] ἐλάχιστον, τῶν γε δυνατῶν. ὅ τι δ' ἂν διαλέγωμαι γενέσθαι κἀπολέσθαι, τῶν πολλῶν εἵνεκεν ἑρμηνεύω· ταὐτὰ δὲ συμμίσγεσθαι καὶ διακρίνεσθαι δηλῶ. ἔχει δὲ ὧδε· γενέσθαι καὶ ἀπολέσθαι τωὐτό, συμμιγῆναι καὶ διακριθῆναι τωὐτό, αὐξηθῆναι καὶ μειωθῆναι τωὐτό· γενέσθαι καὶ συμμιγῆναι τωὐτό, ἀπολέσθαι [μειωθῆναι] διακριθῆναι τωὐτό· ἕκαστον πρὸς πάντα καὶ πάντα πρὸς ἕκαστον τωὐτό, καὶ οὐδὲν πάντων τωὐτό. ὁ νόμος γὰρ τῇ φύσει περὶ τούτων ἐναντίος.

V. Χωρεῖ δὲ πάντα καὶ θεῖα καὶ ἀνθρώπινα ἄνω καὶ κάτω ἀμειβόμενα. ἡμέρη καὶ εὐφρόνη ἐπὶ τὸ μήκιστον καὶ ἐλάχιστον, † ὡς καὶ τῇ σελήνῃ τὸ μήκιστον καὶ τὸ ἐλάχιστον, πυρὸς ἔφοδος καὶ ὕδατος † ἥλιος ἐπὶ τὸ μακρότατον καὶ βραχύτατον· πάντα ταὐτὰ καὶ οὐ ταὐτά· φάος Ζηνί, σκότος Ἅιδῃ, φάος Ἅιδῃ, σκότος Ζηνί· φοιτᾷ κεῖνα ὧδε καὶ τάδε κεῖσε πᾶσαν ὥρην, διαπρησσόμενα κεῖνά τε τὰ τῶνδε τάδε τ' αὖ τὰ κείνων.

Καὶ τὰ μὲν πρήσσουσιν οὐκ οἴδασιν, ἃ δὲ οὐ πρήσσουσι δοκέουσιν εἰδέναι· καὶ τὰ μὲν ὁρέουσιν οὐ γινώσκουσιν, ἀλλά κως αὐτοῖσι πάντα γίνεται δι' ἀνάγκην θείην καὶ ἃ βούλονται καὶ ἃ μὴ βούλονται.

Φοιτώντων δὲ ἐκείνων ὧδε καὶ τῶνδ' ἐκεῖσε, συμμισγομένων πρὸς ἄλληλα, τὴν πεπρωμένην μοῖραν ἕκαστον ἐκπληροῖ καὶ ἐπὶ τὸ μέζον καὶ ἐπὶ τὸ μεῖον. φθορὴ δὲ πᾶσιν ἀπ' ἀλλήλων, τῷ μέζονι ἀπὸ τοῦ μείονος καὶ τῷ μείονι ἀπὸ

2 ἐς add. Zwinger, om. L || 5 ἱσταμένων vulg. : ἱστάμενα Lθ || ἀλλοιουμένων vulg. : ἀλλοιούμενα Lθ || ἔπειτα καὶ ἔπειτα codd., corr. Coraes || 6 μὲν νῦν θ : μὲν οὖν LE || 8 ὑπὸ Eθ : παρὰ L || τὰ θ : τὸ L || 9 μειωθὲν L || 15 κἀπολέσθαι scripsi : ἢ ἀπολέσθαι Lθ : καὶ τὸ ἀπολέσθαι vulg. || ταὐτὰ Bernays : ταῦτα L vulg. || 18 καὶ post γενέσθαι om. L vulg., habet θ || 21 χωρεῖ Bernays : χωρὶς vulg. || 25 post φοιτᾷ add. καὶ μετακινεῖται L (om. θ) || post ὥρην add. πᾶσαν χώρην Lθ || 26 τ' αὖ τὰ scripsi : ταῦτα vulg. : τε τὰ Lθ || 27 καί θ' ἃ L || 28 καί θ' ἃ L || ἀλλά κως scripsi : ἀλλ' ὅκως Eθ : ἀλλ' ὅμως L || 30 καὶ τῶνδ' E : τῶν δέ τε L : τῶν δέ τι θ

τοῦ μέζονος· αὔξεται τὸ μέζον ἀπὸ τοῦ ἐλάσσονος καὶ τὸ ἔλασσον ἀπὸ τοῦ μέζονος.

VI. Τά τ' ἄλλα πάντα καὶ ψυχὴ ἀνθρώπου καὶ σῶμα, ὁκοῖον ἡ ψυχή, διακοσμέεται. ἐσέρπει δὲ ἐς ἄνθρωπον μέρεα μερέων ὅλα ὅλων, ἔχοντα σύγκρησιν πυρὸς καὶ ὕδατος, τὰ μὲν ληψόμενα τὰ δὲ δώσοντα· καὶ τὰ μὲν λαμβάνοντα πλεῖον ποιεῖ, τὰ δὲ διδόντα μεῖον. πρίουσιν ἄνθρωποι ξύλον, ὁ μὲν ἕλκει ὁ δὲ ὠθέει· τὸ δ' αὐτὸ τοῦτο ποιέουσι, μεῖον δὲ ποιέοντες πλεῖον ποιέουσι. τοιοῦτον φύσις ἀνθρώπων, τὸ μὲν ὠθέει τὸ δὲ ἕλκει, τὸ μὲν δίδωσι τὸ δὲ λαμβάνει· καὶ τῷ μὲν δίδωσι τοῦ δὲ λαμβάνει, καὶ τῷ μὲν δίδωσι τοσούτῳ πλέον, οὗ δὲ λαμβάνει τοσούτῳ μεῖον. χώρην δὲ ἕκαστον φυλάσσει τὴν ἑωυτοῦ, καὶ τὰ μὲν ἐπὶ τὸ μεῖον ἰόντα διακρίνεται ἐς τὴν ἐλάσσονα χώρην, τὰ δὲ ἐπὶ τὸ μέζον πορευόμενα συμμισγόμενα ἐξαλλάσσει ἐς τὴν μέζω τάξιν· τὰ δὲ ξεῖνα [μὴ ὁμότροπα] ὠθέεται ἐκ χώρης ἀλλοτρίης. ἑκάστη δὲ ψυχὴ μέζω καὶ ἐλάσσω ἔχουσα περιφοιτᾷ τὰ μόρια τὰ ἑωυτῆς, οὔτε προσθέσιος οὔτε ἀφαιρέσιος δεομένη τῶν μερέων, κατὰ δὲ αὔξησιν τῶν ὑπαρχόντων καὶ μείωσιν δεομένη χώρης, ἕκαστα διαπρήσσεται, ἐς ἥντινα ἂν ἐσέλθῃ, καὶ δέχεται τὰ προσπίπτοντα. οὐ γὰρ δύναται τὸ μὴ ὁμότροπον ἐν τοῖσιν ἀσυμφόροισι χωρίοισιν ἐμμένειν· πλανᾶται μὲν γὰρ ἀγνώμονα, συγγινόμενα δὲ ἀλλήλοισι γινώσκει πρὸς ὃ προσίζει· προσίζει γὰρ τὸ σύμφορον τῷ συμφόρῳ, τὸ δὲ ἀσύμφορον πολεμεῖ καὶ μάχεται καὶ διαλλάσσει ἀπ' ἀλλήλων. διὰ τοῦτο ἀνθρώπου ψυχὴ ἐν ἀνθρώπῳ αὐξάνεται, ἐν ἄλλῳ δὲ οὐδενὶ καὶ τῶν ἄλλων ζῴων τῶν μεγάλων. ὡσαύτως ὅσα ἄλλως ἀπ' ἄλλων ὑπὸ βίης ἀποκρίνεται.

VII. Περὶ μὲν οὖν τῶν ἄλλων ζῴων ἐάσω, περὶ δὲ ἀνθρώπου δηλώσω. ἐσέρπει γὰρ ἐς ἄνθρωπον ψυχὴ πυρὸς καὶ ὕδατος σύγκρασιν ἔχουσα, μοῖραν σώματος ἀνθρώπου· ταῦτα δὲ καὶ θήλεα καὶ ἄρσενα καὶ πολλὰ καὶ παντοῖα, τρέφεται δὲ καὶ αὔξεται διαίτῃ τῇ περ ἄνθρωπος· ἀνάγκη δὴ τὰ μέρεα ἔχειν πάντα τὰ ἐσιόντα· οὗ τινος γὰρ μὴ ἐνείη μοῖρα ἐξ ἀρχῆς, οὐκ ἂν αὐξηθείη οὔτε πολλῆς τροφῆς ἐπιούσης οὔτε ὀλίγης· οὐ γὰρ ἔχει τὸ προσαυξόμενον· ἔχον δὲ πάντα αὔξεται ἐν χώρῃ τῇ ἑωυτοῦ ἕκαστον, τροφῆς ἐπιούσης ἀπὸ ὕδατος ξηροῦ καὶ πυρὸς ὑγροῦ· καὶ τὰ μὲν εἴσω βιαζόμενα τὰ δε ἔξω. ὥσπερ οἱ τέκτονες τὸ ξύλον πρίουσιν· ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει, τωὐτὸ ποιέοντες, κάτω δ' ὁ πιέζων τὸν ἄνω ἕλκει· οὐ γὰρ ἂν παραδέχοιτο κάτω ἰέναι· ἢν δὲ βιάζωνται, παντὸς ἁμαρτήσονται· τοιοῦτον τροφὴ ἀνθρώπου· τὸ μὲν

1 αὐξάνεται καὶ τὸ L || 3 τά τ' Bernays : τὰ δὲ LEθ || 8 τοιοῦτον Eθ : τὸ δ' αὐτὸ καὶ L || 10 οὗ δὲ scripsi : οὐδὲν θ : ὁ δὲ E : τοῦ δὲ L || 14 οὔτε θ : οὐ L || οὔτε θ : οὐδὲ L || 16 καὶ δέχεται L : καὶ δέχηται E : ἀνεχέται θ || 18 ἐμμένειν] μὴ ὁμονοεῖν θ || 22 ὁκόσα δὲ ἄλλως L || 25 γὰρ θ : δὲ L vulg. || ἔχουσαν θ || 27 τῇ περὶ τὸν ἄνθρωπον L || δὴ scripsi : δὲ L vulg. || 31 καὶ τὰ θ : τὰ L vulg. || 32 ὁ μέν θ : καὶ ὃ μὲν L vulg. || 34 βιάζηται θ || ἁμαρτήσεται θ

ἕλκει, τὸ δὲ ὠθέει, εἴσω δὲ βιαζόμενον ἔξω ἕρπει, ἢν δὲ βιῆται παρὰ καιρόν, παντὸς ἀποτεύξεται.

. . . . . .

X. Ἑνὶ δὲ λόγῳ πάντα διεκοσμήσατο κατὰ τρόπον αὐτὸ ἑωυτῷ τὰ ἐν τῷ σώματι τὸ πῦρ, ἀπομίμησιν τοῦ ὅλου, μικρὰ πρὸς μεγάλα καὶ μεγάλα πρὸς μικρά· κοιλίην μὲν τὴν μεγίστην, ὕδατι ξηρῷ καὶ <πυρὶ> ὑγρῷ ταμεῖον, δοῦναι πᾶσι καὶ λαβεῖν παρὰ πάντων, θαλάσσης δύναμιν, ζῴων συντρόφων τροφὸν ἀσυμφόρων δὲ φθορόν· περὶ δὲ ταύτην ὕδατος ψυχροῦ καὶ ὑγροῦ σύστασιν, διέξοδον πνεύματος ψυχροῦ καὶ θερμοῦ, ἀπομίμησιν γῆς τῆς τὰ ἐπεισπίπτοντα πάντα ἀλλοιούσης. καταναλίσκον, τὰ δὲ αὖξον, σκέδασιν ὕδατος λεπτοῦ καὶ πυρὸς ἐποιήσατο ἠερίου ἀφανέος καὶ φανεροῦ, ἀπὸ τοῦ συνεστηκότος ἀπόκρισιν ἐν ᾧ φερόμενα [πάντα] ἐς τὸ φανερὸν ἀφικνέεται ἕκαστα μοίρῃ πεπρωμένῃ. ἐν δὲ τούτων ἐποιήσατο τὸ πῦρ περιόδους τρισσὰς περαινούσας πρὸς ἀλλήλας καὶ εἴσω καὶ ἔξω· αἱ μὲν πρὸς τὰ κοῖλα τῶν ὑγρῶν, σελήνης δύναμιν, αἱ δὲ ἐς τὴν ἔξω περιφορὰν πρὸς τὸν περιέχοντα πάγον, ἄστρων δύναμιν, αἱ δὲ μέσαι καὶ εἴσω καὶ ἔξω περαίνουσαι τὸ θερμότατον καὶ ἰσχυρότατον πῦρ, ὅπερ πάντων κρατέει διέπον ἕκαστα κατὰ φύσιν, ἄθικτον καὶ ὄψει καὶ ψαύσει· ἐν τούτῳ ψυχή, νόος, φρόνησις, αὔξησις, [κίνησις μείωσις διάλλαξις] ὕπνος, ἐγρήγορσις· τοῦτο πάντα διὰ παντὸς κυβερνᾷ καὶ τάδε καὶ ἐκεῖνα, οὐδέκοτε ἀτρεμίζον.

XI. Οἱ δὲ ἄνθρωποι ἐκ τῶν φανερῶν τὰ ἀφανέα σκέπτεσθαι οὐκ ἐπίστανται. τέχνῃσι γὰρ χρεόμενοι ὁμοίῃσιν ἀνθρωπίνῃ φύσει οὐ γινώσκουσιν. θεῶν γὰρ νόος ἐδίδαξε μιμέεσθαι τὰ ἑωυτῶν γινώσκοντας ἃ ποιέουσι καὶ οὐ γινώσκοντας ἃ μιμέονται. πάντα γὰρ ὅμοια ἀνόμοια ἐόντα καὶ σύμφορα πάντα διάφορα ἐόντα· διαλεγόμενα οὐ διαλεγόμενα· γνώμην ἔχοντα ἀγνώμονα· ὑπεναντίος ὢν ὁ τρόπος ἑκάστων ὁμολογούμενος. νόμος γὰρ καὶ φύσις οἷσι πάντα διαπρησσόμεθα οὐχ ὁμολογέεται ὁμολογούμενα· νόμον μὲν ἄνθρωποι ἔθεσαν αὐτοὶ ἑωυτοῖσιν, οὐ γινώσκοντες περὶ ὧν ἔθεσαν, φύσιν δὲ πάντων θεοὶ διεκόσμησαν. τὰ μὲν οὖν ἄνθρωποι διέθεσαν οὐδέκοτε κατὰ τωὐτὸ ἔχει οὔτε ὀρθῶς οὔτε μὴ ὀρθῶς· ὁκόσα δὲ θεοὶ διέθεσαν αἰεὶ ὀρθῶς ἔχει, καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθά. τοσοῦτον διαφέρει.

XII. Ἐγὼ δὲ δηλώσω τέχνας φανερὰς ἀνθρώπου παθήμασιν ὁμοίας ἐούσας καὶ φανεροῖσι καὶ ἀφανέσι. μαντικὴ τοιόνδε· τοῖσι μὲν φανεροῖσι

1 βιαζομένου θ || 6 ὕδατι θ : om. L vulg. || 7 συντρόφων θ : ἐντρόφων L vulg. || 9 γῆς τῆς] τῆς γῆς L vulg. : γῆς θ || 10 καταναλίσκον, τὰ δὲ scripsi : καταναλίσκοντα δὲ vulg. : καταναλίσκον δὲ καὶ L || 13 τούτων θ : τούτῳ L vulg. || τὸ πῦρ Bernays : πυρὸς L vulg. || 17 κρατέει θ : ἐπικρατέεται L vulg. || ἕκαστα θ : ἅπαντα L vulg. || 18 ἄθικτον scripsi (praeeunte Bernaysio, qui tamen ἄψαυστον mavult) : ἄοικτον θ : ἄϊκτον L coni. : ἄψοφον vulg. || 26 ὑπεναντίος ὢν Schuster : ὑπεναντίος Lθ ; ὑπεναντίων E || 27 μὲν Εθ vulg. : γὰρ L || 29 τὰ vulg. : ἃ L || διέθεσαν θ : ἔθεσαν L || 30 διέθεσαν θ : ἔθεσαν L || 33 μὲν om. L

τὰ ἀφανέα γινώσκει καὶ τοῖσιν ἀφανέσι τὰ φανερὰ καὶ τοῖσιν ἐοῦσι τὰ μέλλοντα καὶ τοῖσιν ἀποθανοῦσι τὰ ζῶντα· καὶ τῷ ἀσυνέτῳ ξυνίασιν ὁ μὲν εἰδὼς ἀεὶ ὀρθῶς, ὁ δὲ μὴ εἰδὼς ἄλλοτε ἄλλως. φύσιν ἀνθρώπου καὶ βίον ταῦτα μιμέεται. ἀνὴρ γυναικὶ συγγενόμενος παιδίον ἐποίησε· τῷ φανερῷ τὸ ἄδηλον γινώσκει ὅτι οὕτως ἔσται. γνώμη ἀνθρώπου ἀφανής, γινώσκουσα τὰ φανερὰ ἐκ παιδὸς ἐς ἄνδρα μεθίσταται, τῷ ἐόντι τὸ μέλλον γινώσκειν † οὐχ ὅμοιον ἀπὸ θανάτου ζώοντι † τῷ τεθνηκότι τὸ ζῶον οἶδεν. ἀσύνετον γαστήρ· ταύτῃ συνίεμεν ὅτι διψῇ ἢ πεινῇ. ταῦτα μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα, τοῖσι μὲν γινώσκουσιν αἰεὶ ὀρθῶς, τοῖσι δὲ μὴ γινώσκουσιν αἰεὶ ἄλλοτε ἄλλως.

XIII. † Σιδήρου ὄργανα τέχνῃσι † τὸν σίδηρον περιτήκουσι πνεύματι ἀναγκάζοντες τὸ πῦρ, τὴν ὑπάρχουσαν τροφὴν ἀφαιρέοντες, ἀραιὸν δὲ ποιήσαντες παίουσι καὶ συνελαύνουσιν, ὕδατος δὲ ἄλλου τροφῇ ἰσχυρὸν γίνεται. ταὐτὰ πάσχει ἄνθρωπος ὑπὸ παιδοτρίβου· τὴν ὑπάρχουσαν τροφὴν πυρὶ ἀφαιρέεται ὑπὸ πνεύματος ἀναγκαζόμενος· ἀραιούμενος [δὲ] κόπτεται τρίβεται καθαίρεται, ὑδάτων δὲ ἐπαγωγῇ ἄλλοθεν ἰσχυρὸς γίνεται.

XIV. Καὶ οἱ γναφέες τοῦτο διαπρήσσονται· λακτίζουσι, κόπτουσιν, ἕλκουσι, λυμαινόμενοι ἰσχυρότερα ποιέουσι· κείροντες τὰ ὑπερέχοντα καὶ παραπλέκοντες καλλίω ποιέουσι. ταὐτὰ πάσχει ὤνθρωπος.

XV. Σκυτέες τὰ ὅλα κατὰ μέρεα διαιρέουσι καὶ τὰ μέρια ὅλα ποιέουσι, τάμνοντες δὲ καὶ κεντέοντες τὰ σαθρὰ ὑγιέα ποιέουσι. καὶ ἄνθρωπος δὲ ταὐτὰ πάσχει· ἐκ τῶν ὅλων μέρεα διαιρέεται καὶ ἐκ τῶν μερέων συντιθεμένων ὅλα γίνεται, κεντούμενοι δὲ καὶ τεμνόμενοι τὰ σαθρὰ ὑπὸ τῶν ἰητρῶν ὑγιάζονται· καὶ τόδε ἰητρικῆς, τὸ λυπέον ἀπαλλάσσειν καὶ ὑφ᾽ οὗ πονέει ἀφαιρέοντα ὑγιέα ποιέειν. ἡ φύσις αὐτομάτη ταὐτὰ ἐπίσταται· καθήμενος πονέει ἀναστῆναι, κινεύμενος πονέει ἀναπαύσασθαι. καὶ ἄλλα τὰ αὐτὰ ἔχει ἡ φύσις ἰητρικῇ.

XVI. Τέκτονες πρίοντες ὁ μὲν ὠθέει ὁ δὲ ἕλκει· τωὐτὸ ποιέει † ἀμφοτέρως φέρει †. τρυπῶσιν, ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει· πιεζόντων ἄνω ἕρπει, τὸ δὲ κάτω· μείω ποιέοντες πλείω ποιέουσι καὶ πλείω ποιέοντες μείω ποιέουσι· φύσιν ἀνθρώπου μιμέονται. πνεῦμα τὸ μὲν ἕλκει, τὸ δὲ ὠθέει· τωὐτὸ

1 γινώσκει Εθ : γινώσκειν L || 2 τῷ ἀσυνέτῳ scripsi : τῶν ἀσυνέτων L vulg. || 5 γινώσκει θ : γινώσκειν L vulg. || 7 ἀποθανὼν θ : οὐχ ὁ μὴ ὢν ἀπὸ θανάτου, ζῶον δὲ L coni. : διότι οὐχ ὅμοιον τὸ ἀποθανὸν τῷ ζώοντι Ermerins coni. || 11 fort. πυρὶ τήκουσι || 14 ταὐτὰ Ermerins : ταῦτα L vulg. || 16 ἐπαγωγῇ θ : ὑπαγωγῇ L || 17 τοῦτο θ : τωὐτὸ L || 19 ταὐτὰ Ermerins : ταῦτα Lθ || 20 κατὰ vulg. : καὶ τὰ LEθ || 22 ταὐτὰ scripsi : ταῦτα θ : τωὐτὸ L || 23 ὑγιάζονται Ermerins : ὑγιαίνονται καὶ ζώει vulg. : ὑγιαίνονται Lθ || 25 ταῦτα L vulg. || 26 τὰ αὐτὰ scripsi : τὰ τοιαῦτα θ : τοιαῦτα L vulg. || 27 ἰητρικῇ scripsi : ἰητρικῆς L vulg. || 28 ποιέει E : ποιέοντες θ : ποιέειν L || 29 φέρει om. θ || 31 φύσιν θ : φύσιν τε L vulg. || τὸ δ᾽ αὐτὸ ποιέειν L

ποιέει † ἀμφοτέρως φέρει·† σίτων τὰ μὲν κάτω πιέζεται, τὰ δὲ ἄνω ἕρπει. ἀπὸ μιῆς ψυχῆς διαιρευμένης πλείους καὶ μείους καὶ μέζονες καὶ ἐλάσσονες.

XVII. Οἰκοδόμοι ἐκ διαφόρων σύμφορον ἐργάζονται τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες, τὰ μὲν ὅλα διαιρέοντες, τὰ δὲ διῃρημένα συντιθέντες· μὴ οὕτω δὲ ἐχόντων οὐκ ἂν ἔχοι ᾗ δεῖ. δίαιταν ἀνθρωπίνην μιμέεται· τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες, τὰ μὲν ὅλα διαιρέουσι, τὰ δὲ διῃρημένα ξυντιθέασι· ταῦτα πάντα διάφορα ἐόντα συμφέρει τῇ φύσει.

XVIII. Μουσικῆς ὄργανον ὑπάρξαι δεῖ πρῶτον ἐν ᾧ δηλώσει ἃ βούλεται. ἁρμονίης συντάξιες ἐκ τῶν αὐτῶν οὐχ αἱ αὐταὶ ἐκ τοῦ ὀξέος καὶ ἐκ τοῦ βαρέος, ὀνόματι μὲν ὁμοίων φθόγγῳ δὲ οὐχ ὁμοίων. τὰ πλεῖστα διάφορα μάλιστα ξυμφέρει, τὰ δὲ ἐλάχιστα διάφορα ἥκιστα ξυμφέρει· εἰ δὲ ὅμοια πάντα ποιήσει τις, οὐκ ἔτι τέρψις· αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται μάλιστα τέρπουσιν.

Μάγειροι ὄψα σκευάζουσιν ἀνθρώποισι διαφόρων συμφόρων, παντοδαπὰ συγκρίνοντες, ἐκ τῶν αὐτῶν οὐ ταὐτά, βρῶσιν καὶ πόσιν ἀνθρώπῳ· εἰ δὲ πάντα ὅμοια ποιήσει, οὐκ ἔχει τέρψιν· οὐδ' εἰ ἐν τῷ αὐτῷ πάντα ξυντάξειεν, οὐκ ἂν ἔχοι ὀρθῶς. κρούεται τὰ κρούματα ἐν μουσικῇ τὰ μὲν ἄνω, τὰ δὲ κάτω· γλῶσσα μουσικὴν μιμέεται διαγινώσκουσα μὲν τὸ γλυκὺ καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων, καὶ διάφωνα καὶ ξύμφωνα· κρούεται δὲ [τοὺς φθόγγους] ἄνω καὶ κάτω, καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα ὀρθῶς ἔχει οὔτε τὰ κάτω ἄνω· καλῶς δὲ ἡρμοσμένης γλώσσης, τῇ συμφωνίῃ τέρψις, ἀναρμόστου δὲ λύπη.

XIX. Νακοδέψαι τείνουσι τρίβουσι κτενίζουσι πλύνουσι· ταὐτὰ παιδίων θεραπείη.

Πλοκέες ἄγοντες κύκλῳ πλέκουσιν, ἀπὸ τῆς ἀρχῆς ἐς τὴν ἀρχὴν τελευτῶσι· τωὐτὸ περίοδος ἐν τῷ σώματι, ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ.

XX. Χρυσίον ἐργάζονται, κόπτουσι πλύνουσι τήκουσι· πυρὶ μαλακῷ, ἰσχυρῷ δ' οὔ, συνίσταται· ἀπειργασμένοι πρὸς πάντα χρῶνται. ἄνθρωπος σῖτον κόπτει πλύνει ἀλήθει, πυρώσας χρῆται· ἰσχυρῷ μὲν πυρὶ ἐν τῷ σώματι οὐ συνίσταται, μαλακῷ δέ.

XXI. Ἀνδριαντοποιοὶ μίμησιν σώματος ποιέουσι πλὴν ψυχῆς, γνώμην δ' ἔχοντα οὐ ποιέουσιν· ἐξ ὕδατος καὶ γῆς τὰ ὑγρὰ ξηραίνοντες καὶ τὰ ξηρὰ ὑγραίνοντες, ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων, πρὸς τὰ ἐλλείποντα προστιθέασιν, ἐκ τοῦ ἐλαχίστου ἐς τὸ μήκιστον αὔξοντες. ταὐτὰ πάσχει

---

1 φέρει σίτων om. θ ‖ 3 σύμφορον om. θ : fort. συμφόρων ‖ 9 ἁρμονίης θ : ἁρμονίην E : ἁρμονίη· L : fort. ἁρμονίῃ ‖ 11 τὰ δὲ Eθ : καὶ τὰ L ‖ 12 ἔτι θ : ἔνι L vulg. ‖ 15 ἀνθρώπῳ θ : ἀνθρώπων L vulg. ‖ εἰ . . . ποιήσει θ : ἢν . . . ποιήσῃ L vulg. ‖ 22 νακοδέψαι Lθ : σκυτοδέψαι vulg. ‖ ταὐτὰ Ermerins : ταῦτα L vulg. ‖ 23 θεραπείη θ : θεραπητὴ L vulg. ‖ 25 τωὐτὸ Ermerins : τοῦτο L vulg. ‖ 27 ἀπειργασμένοι θ : ἀπεργασάμενοι L ‖ 29 μαλακῷ Eθ : μαλθακῷ L ‖ 32 καὶ προστιθέασι πρὸς τ. ἐ. L ‖ 33 ἐς θ : πρὸς L vulg. ‖ μήκιστον θ : μέγιστον L vulg.

καὶ ἄνθρωπος· αὔξεται ἐκ τοῦ ἐλαχίστου ἐς τὸ μέγιστον, ἐκ τῶν ὑπερεχόντων ἀφαιρούμενος, τοῖσιν ἐλλείπουσι προστιθείς, τὰ ξηρὰ ὑγραίνων καὶ τὰ ὑγρὰ ξηραίνων.

XXII. Κεραμέες τροχὸν δινέουσι, καὶ οὔτε πρόσω οὔτε ὀπίσω προχωρέει, [καὶ] ἀμφοτέρως [ἅμα] τοῦ ὅλου ἀπομίμημα τῆς περιφορῆς· ἐν δὲ τῷ αὐτῷ ἐργάζονται [εἴδη] περιφερομένῳ παντοδαπά, οὐδὲν ὅμοιον τὸ ἕτερον τῷ ἑτέρῳ, ἐκ τῶν αὐτῶν τοῖσιν αὐτοῖσιν ὀργάνοισιν. ἄνθρωποι ταὐτὰ πάσχουσι καὶ τἆλλα ζῷα, ἐν τῇ αὐτῇ περιφορῇ πάντα ἐργάζονται ἐκ τῶν αὐτῶν οὐδὲν ὅμοιον τοῖσιν αὐτοῖσιν ὀργάνοισιν, ἐξ ὑγρῶν ξηρὰ ποιέοντες καὶ ἐκ τῶν ξηρῶν ὑγρά.

XXIII. Γραμματικὴ τοιόνδε· σχημάτων σύνθεσις, σημεῖα ἀνθρωπίνης φωνῆς, δύναμις τὰ παροιχόμενα μνημονεῦσαι, τὰ ποιητέα δηλῶσαι· δι' ἑπτὰ σχημάτων ἡ γνῶσις· ταῦτα πάντα ἄνθρωπος διαπρήσσεται καὶ ὁ ἐπιστάμενος γράμματα καὶ ὁ μὴ ἐπιστάμενος. δι' ἑπτὰ σχημάτων καὶ ἡ αἴσθησις ἀνθρώπῳ, ἀκοὴ ψόφων, ὄψις φανερῶν, ῥὶν ὀδμῆς, γλῶσσα ἡδονῆς καὶ ἀηδίης, στόμα διαλέκτου, σῶμα ψαύσιος, θερμοῦ ἢ ψυχροῦ πνεύματος διέξοδοι ἔσω καὶ ἔξω. διὰ τούτων γνῶσις ἀνθρώποισιν, ἀγνωσίη.

XXIV. Παιδοτριβίη τοιόνδε· διδάσκουσι παρανομέειν κατὰ νόμον, ἀδικέειν δικαίως, ἐξαπατᾶν, κλέπτειν, ἁρπάζειν, βιάζεσθαι τὰ κάλλιστα καὶ αἴσχιστα· ὁ μὴ ταῦτα ποιέων κακός, ὁ δὲ ταῦτα ποιέων ἀγαθός. ἐπίδειξις τῶν πολλῶν ἀφροσύνης· θεῶνται ταῦτα καὶ κρίνουσιν ἕν' ἐξ ἁπάντων ἀγαθόν, τοὺς δὲ ἄλλους κακούς· πολλοὶ θωμάζουσιν, ὀλίγοι γινώσκουσιν. ἐς ἀγορὴν ἐλθόντες [ἄνθρωποι] ταὐτὰ διαπρήσσονται· ἐξαπατῶσιν ἄνθρωποι πωλέοντες καὶ ὠνεύμενοι· ὁ πλεῖστα ἐξαπατήσας οὗτος θωμάζεται. πίνοντες καὶ μαινόμενοι ταὐτὰ διαπρήσσονται· τρέχουσι, παλαίουσι, μάχονται, κλέπτουσιν, ἐξαπατῶσιν· εἷς ἐκ πάντων κρίνεται. ὑποκριταὶ [καὶ] ἐξαπάται· πρὸς εἰδότας λέγουσιν ἄλλα καὶ φρονέουσιν ἕτερα, οἱ αὐτοὶ ἐξέρπουσι καὶ ἐσέρπουσιν καὶ οὐχ οἱ αὐτοί. ἔνι δὲ ἀνθρώπῳ ἄλλα μὲν λέγειν ἄλλα δὲ ποιεῖν, καὶ τὸν αὐτὸν μὴ εἶναι τὸν αὐτόν, καὶ ποτὲ μὲν ἄλλην ἔχειν γνώμην ὁτὲ δὲ ἄλλην. οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ φύσει ἐπικοινωνέουσιν.

---

1 καὶ Eθ : ὁ L ‖ 5 καὶ om. θ ‖ ἀμφοτέρως θ : ἀμφοτέρωσε L vulg. ‖ ἀπόμιμα τῆς περιφορῆς θ : μιμητὴς τῆς περιφορῆς L : μιμητὴς περιφερὴς vulg. ‖ 6 εἴδη om. Lθ ‖ περιφερομένῳ Lθ : περιφερομέναν vulg. ‖ 8 ταὐτὰ Ermerins : ταῦτα L vulg. ‖ 15 ἀνθρώπῳ scripsi : ἡ ἀνθρώπων L : ἀνθρώπων θ ‖ 17 ἀγνωσίη θ Bernays : ἀγωνίη L vulg. ‖ 18 παιδοτριβίη Lθ : παιδοτρίβαι vulg. ‖ 19 καὶ del. Bernays : τὰ αἴσχιστα καὶ κάλλιστα θ ‖ 20 ἀπόδειξις Bernays ‖ 23 ἄνθρωποι post ἐξαπατῶσιν add. E : om. L vulg. ‖ 28 καὶ ante οὐχ add. θ : om. L vulg. ‖ ἔνι Zwinger, Bernays : ἐνὶ L vulg.

III — SCYTHINI TEII

Fragmenta.

(1)

Τὴν λύρην ἁρμόζεται
Ζηνὸς εὐειδὴς Ἀπόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος
συλλαβών, ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

(2)

Πάντων μὲν ὕστατόν τε καὶ πρῶτον χρόνος,
ἔχει δ' ἐν ἑαυτῷ πάντα κἄστιν εἷς ἀεί.
κοὐκ εἶσιν οὑνιαυτὸς ὃς παρέρχεται
ἐναντίην τῶν πρόσθεν ἐνιαυτῶν ὁδόν·
τὸ γὰρ αὔριον μὲν χθές, τὸ δὲ χθὲς αὔριον.

Fr. 1. Plutarchus de Pyth. orac. 16, p. 402: ὕστερον μέντοι (scil. οἱ Μεγαρεῖς) πλῆκτρον ἀνέθηκαν τῷ θεῷ χρυσοῦν, ἐπιστήσαντες, ὡς ἔοικε, Σκυθινῷ [ita edd.] λέγοντι περὶ τῆς λύρας, ἣν ἁρμόζεται Ζηνὸς κτὲ (v. Bergk. Lyr. Gr. p. 792 ed. 3: conf. Clem. Alex. Strom. v. 8, p. 674).

Fr. 2. Stobaeus Ecl. i. 8, 43: ἐκ τοῦ Σκυθίνου περὶ φύσεως. Χρόνος ἐστὶν ὕστατον καὶ πρῶτον πάντων, καὶ ἔχει ἐν ἑαυτῷ πάντα, καὶ ἔστιν εἷς ἀεί· καὶ οὐκ ἔστιν ὁ παροιχόμενος ἐκ τοῦ ἐόντος αὐτῷ ἐναντίην ὁδὸν παρ' ἐνιαυτῶν [παρεωνιαυτῶν cod. A Gaisfordii]. τὸ γὰρ αὔριον ἡμῖν [ἢ ἐν μὲν ed. Cant.] τῷ ἔργῳ χθές ἐστιν, τὸ δ' ἐχθὲς αὔριον (iambos hic ego agnosco et restituere conatus sum; Meinekius scazontas, Schuster hexametros dispexit: de hoc loco conf. Bergk. de Reliq. Comoed. Attic. p. 308).

IV — HERACLITEA

ex Luciani Vitarum auctione c. 14.

ΩΝΗΤΗΣ. Σὺ δὲ τί κλάεις, ὦ βέλτιστε; πολὺ γὰρ οἶμαι κάλλιον σοὶ προσλαλεῖν—ΗΡΑΚΛΕΙΤΟΣ. ἡγέομαι γάρ, ὦ ξεῖνε, τὰ ἀνθρωπήϊα πρήγματα ὀϊζυρὰ καὶ δακρυώδεα, καὶ οὐδὲν αὐτέων ὅ τι μὴ ἐπίκηρον· τῷ δὴ οἰκτείρω τε σφέας καὶ ὀδύρομαι. καὶ τὰ μὲν παρεόντα οὐ δοκέω μεγάλα, τὰ δ' ἐν ὑστέρῳ χρόνῳ ἐσόμενα πάμπαν ἀνιηρά, λέγω δὲ τὰς ἐκπυρώσιας καὶ τὴν τοῦ ὅλου συμφορήν. ταῦτα ὀδύρομαι, καὶ ὅτι ἔμπεδον οὐδέν, ἀλλά κως ἐς κυκεῶνα τὰ πάντα συνειλέονται, καὶ ἔστι τωὐτὸ τέρψις ἀτερψίη, γνῶσις ἀγνωσίη, μέγα μικρόν, ἄνω κάτω περιχωρεῦντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ.—ΩΝ. τί γὰρ ὁ αἰών ἐστιν;—ΗΡΑΚ. παῖς παίζων, πεσσεύων, διαφερόμενος.—ΩΝ. τί δὲ οἱ ἄνθρωποι;—ΗΡΑΚ. θεοὶ θνητοί.—ΩΝ. τί δὲ οἱ θεοί;—ΗΡΑΚ. ἄνθρωποι ἀθάνατοι.—ΩΝ. αἰνίγματα λέγεις, ὦ οὗτος, ἢ γρίφους συντιθεῖς; ἀτεχνῶς γάρ, ὥσπερ ὁ Λοξίας, οὐδὲν ἀποσαφεῖς.—ΗΡΑΚ. οὐδὲν γάρ μοι μέλει ὑμέων.—ΩΝ. τοιγαροῦν οὐδὲ ὠνήσεταί σε τις εὖ φρονῶν.—ΗΡΑΚ. ἐγὼ δὲ κελέομαι πᾶσι ἡβηδὸν οἰμώζειν, τοῖσι ὠνεομένοισι, [καὶ] τοῖσι οὐκ ὠνεομένοισι.—ΩΝ. τουτὶ τὸ κακὸν οὐ πόρρω μελαγχολίας ἐστίν.

Discrepantia scripturae Fritzschianae:—

2 ἀνθρώπινα ‖ 3 ἐπικήριον (corr. Cobet) ‖ 4 τὰ δὲ ὑστέρῳ ‖ 6 ἀλλὰ ὅκως ‖ 8 περιχορεύοντα (περιχωρέοντα alii) ‖ 12 συντίθης ‖ 14 κέλομαι (formam satis audacem restitui e codd. aliquot).

V — HERACLITI QUAE FERUNTUR

Epistolae.

I.

Βασιλεὺς Δαρεῖος Ἡράκλειτον Ἐφέσιον σοφὸν ἄνδρα προσαγορεύει. Καταβέβλησαι λόγον γραπτὸν περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον· ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν δοκεῖ μοι δύναμίν τινα προσφέρεσθαι θεωρίας κόσμου τοῦ σύμπαντος καὶ τῶν ἀπὸ τούτου συμβαινόντων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει· τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα πρὸς ζήτησιν καὶ μάθησιν, ὥστε καὶ τοὺς ἐπὶ πλεῖστον μετεσχηκότας γραμμάτων ἑλληνικῶν καὶ τοὺς ἄλλους τοὺς ἀσχολουμένους περὶ τὴν τῶν μετεώρων προσοχὴν καὶ φιλομάθειαν ἀπορεῖσθαι τῆς ἐν ὀρθῇ γνώμῃ παρὰ σοὶ δοκούσης καταγεγράφθαι διηγήσεως. βασιλεὺς οὖν Δαρεῖος Ὑστάσπου βούλεται τῆς ἀκροάσεως μεταλαβεῖν καὶ παιδείας λογικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν καὶ βασίλειον οἶκον. Ἕλληνες γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφιζομένοις ἀνδράσιν ὄντες παρορῶσι τὰ καλῶς ὑπ᾽ αὐτῶν ἐνδεικνύμενα πρὸς καλὴν ἀγωγὴν καὶ δίαιταν. παρ᾽ ἐμοὶ δὲ ὑπάρξει σοι πᾶσα μὲν προεδρία, καθ᾽ ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις καὶ βίος εὐδοκούμενος σαῖς παραινέσεσιν.

II.

Ἡράκλειτος Δαρείῳ βασιλεῖ πατρὸς Ὑστάσπεως χαίρειν. Ὁκόσοι τυγχάνουσιν ὄντες ἐπιχθόνιοι τῆς μὲν ἀληθείης καὶ δικαιοπραγίης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δόξῃ κενεῇ προσέχουσι κακῆς εἵνεκεν ἀνοίης· ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης καὶ κόρον φεύγων παντὸς οἰκειεύμενον φθόνῳ διὰ τὴν ὑπερηφανίην οὐκ ἂν ἀφικοίμην εἰς Περσικὴν χώρην, ὀλίγοις ἀρκεόμενος κατ᾽ ἐμὴν γνώμην. [ἔρρωσο.]

Varietas Scripturae (potiorem tantum dedi)—W = Westermann; B = Bernays

6 ἔχειν τὰ W: ἔχειν B || πλεῖον B || 9 παρά σου B || 10 σῆς WB || 15 εὐδόκιμος vulg. corr. B || 16 ὑστάσπεω WB || 18 δόξῃ κενῇ B: δόξῃ τιῇ (vel τεῇ) codd. || 19 φθόνου vulg.: φθόνον WB (corr. Cobet)

III.

Βασιλεὺς Δαρεῖος Ἐφεσίοις. Ἀνὴρ ἀγαθὸς μέγα ἀγαθὸν πόλει· λόγοις καλοῖς καὶ νόμοις ψυχὰς ἀγαθὰς ποιεῖ καιρίως ἄγων εἰς ἀγαθά. ὑμεῖς δὲ Ἑρμόδωρον οὐ μόνον αὑτῶν βέλτιστον, ἀλλὰ καὶ Ἰώνων πάντων ἐξεβάλετε ἐκ πατρίδος, αἰσχρὰς αἰτίας ψυχῇ ἀγαθῇ προσάπτοντες. εἰ μὲν οὖν διεγνώκατε βασιλεῖ πολεμεῖν δεσπότῃ, ἑτοιμάζεσθε—ἀποστελῶ γὰρ στρατιάν, ἣ ὑμεῖς οὐ δυνήσεσθε ἀντιτάσσεσθαι· αἰσχρὸν γὰρ βασιλεῖ μεγάλῳ μὴ ἀρκέειν φίλοις—εἰ δὲ μηδὲν τοιοῦτον ἐγχειρίσετε, κατάξατε Ἑρμόδωρον καὶ ἀπόδοτε αὐτῷ πατρῴαν κτῆσιν, μνημονεύοντες ἃ ὑμᾶς ἐκείνου εὐνοίᾳ εὐηργέτησα, φόρους ἐλάττους τάξας ὧν ἐφέρετε καὶ γῆν πολλὴν δοὺς πρὸς ἣ ἐκέκτησθε. ὧν οὐκ ἐοίκατε χάριν ὀφείλειν· οὐ γὰρ ἄν ποτε Ἑρμόδωρον φίλον βασιλέως ἐφυγαδεύσατε. ἀποστείλατε οὖν ἄνδρας τοὺς ἐροῦντας πρός με τὸ δίκαιον ὑπὲρ ὧν ἐγκαλεῖτε Ἑρμοδώρῳ, ἵν᾽ ἐὰν μὲν ἐκεῖνος ἐπιδειχθῇ κακοφρονῶν, ἐπιτιμηθῇ, ἐὰν δὲ ὑμεῖς, ἐπὶ νοῦν βελτίονα θῶμαι καὶ εἰς τὸ λοιπὸν ἁμαρτάνειν κωλύσω εἰς ἀγαθοὺς ἄνδρας. καὶ γὰρ βασιλεῖ ὑμετέρῳ συμφέρει ταῦτα καὶ ὑμῖν. [ἔρρωσθε.]

IV.

Ἡράκλειτος Ἑρμοδώρῳ. Ἤδη μηκέτι τοῖς ἑαυτοῦ χαλέπαινε, Ἑρμόδωρε. Εὐθυκλῆς ὁ Νικοφῶντος τοῦ συλήσαντος προπέρυσι τὴν θεὸν ἀσεβείας με γέγραπται, ἄνδρα σοφίᾳ προὔχοντα ἀπαιδευσίᾳ νικῶν, ὡς ὅτι ἐπέγραψα τῷ βωμῷ, ᾧ ἐφέστηκα, τὸ ἐμὸν ὄνομα, θεοποιῶν ἄνθρωπον ὄντα ἐμαυτόν. εἶτα κριθήσομαι ὑπὸ ἀσεβοῦς ἐν ἀσεβέσι. τί οἴει, δόξω αὐτοῖς εὐσεβὴς εἶναι ἐναντία φρονῶν οἷς αὐτοὶ περὶ θεῶν νομίζουσιν; εἰ καὶ πεπηρωμένοι ἔκρινον ὄψιν, τυφλότητα ἂν ἔλεγον τὴν ὅρασιν. ἀλλ᾽ ὦ ἀμαθεῖς ἄνθρωποι, διδάξατε πρῶτον ἡμᾶς τί ἐστιν ὁ θεός, ἵνα ἀσεβεῖν λέγοντες πιστεύησθε. ποῦ δ᾽ ἐστὶν ὁ θεός; ἐν τοῖς ναοῖς ἀποκεκλεισμένος; εὐσεβεῖς γε οἳ ἐν σκότει τὸν θεὸν ἱδρύετε. ἄνθρωπος λοιδορίαν ποιεῖται, λίθινος εἰ λέγοιτο, θεὸς δὲ ἀληθεύεται, ᾧ τοῦτο τὸ ἐφυμνούμενον, ἐκ κρημνῶν γεννᾶται; ἀπαίδευτοι, οὐκ ἴστε ὅτι οὐκ ἔστι θεὸς χειρόκμητος, οὐδὲ ἐξ ἀρχῆς βάσιν ἔχει, οὐδὲ ἔχει ἕνα περίβολον, ἀλλ᾽ ὅλος ὁ κόσμος αὐτῷ ναός ἐστι ζώοις καὶ φυτοῖς καὶ ἄστροις πεποικιλμένος; ΗΡΑΚΛΕΙ ἐπέγραψα ΤΩΙ ΕΦΕΣΙΩΙ τὸν βωμὸν πολιτογραφῶν ὑμῖν τὸν θεόν, οὐχ ΗΡΑΚΛΕΙΤΩΙ. ἂν δὴ ὑμεῖς ἀξυνετῆτε γράμματα, οὐκ ἐμὴ ἀσέβεια τὸ ὑμῶν ἀπαίδευτον· μανθάνετε σοφίην καὶ συνίετε. ἀλλ᾽ οὐ θέλετε, οὐδ᾽ ἐγὼ ἀναγκάζω. γηρᾶτε σὺν ἀπαιδευσίᾳ χαίροντες ἰδίοις

---

13 βελτίονα B: βέλτιον vulg. || 19 ᾧ ἐφέστηκα B: οὗ ἐπέστησα vulg. || 20 post ἀσεβέσι add. ἀσεβείας B || 21 πεπηρωμένην vulg. corr. B || 25 θεὸς] ἐς θεὸν B || 26 ᾧ scripsi: ὡς vulg.: om. B || ἐφυμνούμενον scripsi: εὐώνυμον vulg.: ἐπώνυμον B || 27 ἐξαρκῆ B

κακοῖς. Ἡρακλῆς δὲ οὐκ ἄνθρωπος ἐγεγόνει; ὡς μὲν Ὅμηρος ἐψεύσατο, καὶ ξενοκτόνος. ἀλλὰ τί αὐτὸν ἐθεοποίησεν; ἡ ἰδία καλοκαγαθία καὶ ἔργων τὰ γενναιότατα τοσούτους ἐκτελέσαντα ἄθλους. ἐγὼ μὲν οὖν, ὦ ἄνθρωποι, οὐ καὶ αὐτὸς ἀγαθός εἰμι; ἥμαρτον ἐρόμενος ὑμᾶς· καὶ γὰρ εἰ τὰ ἐναντία ἀποκρίναισθε, ὅμως ἀγαθός εἰμι. καὶ ἔμοιγε πολλοὶ καὶ δυσχερέστατοι ἆθλοι κατώρθωνται· νενίκηκα ἡδονάς, νενίκηκα χρήματα, νενίκηκα φιλοτιμίαν, κατεπάλαισα δειλίαν, κατεπάλαισα κολακείαν, οὐκ ἀντιλέγει μοι φόβος, οὐκ ἀντιλέγει μοι μέθη, φοβεῖταί με λύπη, φοβεῖταί με ὀργή· κατὰ τούτων ἀγών· καὶ αὐτὸς ἐστεφάνωμαι ἐμαυτῷ ἐπιτάττων, οὐχ ὑπ' Εὐρυσθέως. οὐ παύσεσθε σοφίαν ὑβρίζοντες καὶ ἴδια ἁμαρτήματα καὶ ἴδια ἐγκλήματα ἡμῖν προστριβόμενοι; εἰ ἐδύνασθε μετ' ἐνιαυτοὺς ἐκ παλιγγενεσίας πεντακοσίους ἀναβιῶναι, κατελάβετε ἂν Ἡράκλειτον ἔτι ζῶντα, ὑμῶν δὲ οὐδ' ἴχνος ὀνόματος. ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν οὐδέποτε σιγώμενος, κἂν ἡ Ἐφεσίων ἀναρπασθῇ πόλις καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, αἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χωρία μνήμης. ἄξομαι καὶ αὐτὸς γυναῖκα Ἥβην, οὐ τὴν Ἡρακλέους· ἐκεῖνος ἀεὶ ἔσται μετὰ τῆς ἑαυτοῦ, ἑτέρα δ' ἡμῖν γενήσεται. πολλὰς Ἀρετὴ γεννᾷ, καὶ Ὁμήρῳ ἔδωκεν ἄλλην καὶ Ἡσιόδῳ ἄλλην, καὶ ὅσοι ἂν ἀγαθοὶ γένωνται, ἑνὶ ἑκάστῳ συνοικίζει παιδείας κλέος. ἆρ' οὐκ εἰμὶ εὐσεβής, Εὐθύκλεις, ὃς μόνος οἶδα θεόν, σὺ δὲ καὶ θρασὺς εἰδέναι οἰόμενος καὶ ἀσεβὴς τὸν μὴ ὄντα δοκῶν; ἐὰν δὲ μὴ ἱδρυθῇ θεοῦ βωμός, οὐκ ἔστι θεός, ἐὰν δὲ ἱδρυθῇ μὴ θεοῦ, θεὸς ἔστιν, ὥστε λίθοι θεῶν μάρτυρες; ἔργα δεῖ μαρτυρεῖν οἷα ἥλιος, νὺξ αὐτῷ καὶ ἡμέρα μαρτυροῦσιν, ὧραι αὐτῷ μάρτυρες, γῆ ὅλη καρποφοροῦσα μάρτυς, σελήνης ὁ κύκλος, ἐκείνου ἔργον, οὐράνιος μαρτυρία.

V.

Ἡράκλειτος Ἀμφιδάμαντι. Νοσοῦμεν, Ἀμφιδάμα, νοῦσον ὕδρωπα· †ὥστε† ὅσα ἐν ἡμῖν, ἑκάστου τὸ κράτος νόσημα· ὑπερβολὴ θερμοῦ πυρετός, ὑπερβολὴ ψυχροῦ παράλυσις, ὑπερβολὴ πνεύματος πνῖγος, ὑπερβολὴ ὑγροῦ ἡ νῦν ἐμὴ ὑγρὰ νόσος. ἀλλὰ θεῖόν τι ψυχὴ ἡ ἁρμόζουσα αὐτά. ὑγεία ἐστὶ τὸ πρῶτον, ἰατρικώτατον φύσις· οὐ γὰρ εἰκάζει ἡ πρώτη ἀτεχνία τὸ παρ' αὐτήν, ἀλλὰ ὕστερον ἄλλοι ἄλλα μιμούμενοι οἱ ἄνθρωποι ἐπιστήμας καὶ ἀγνοίας ἐκάλεσαν. ἐγὼ εἰ οἶδα κόσμου φύσιν, οἶδα καὶ ἀνθρώπου, οἶδα νόσους, οἶδα ὑγείαν. ἰάσομαι ἐμαυτόν, μιμήσομαι θεόν, ὃς κόσμου ἀμετρίας ἐπανισοῖ ἡλίῳ ἐπιτάττων. οὐχ ἁλώσεται νόσῳ Ἡράκλειτος, νόσος Ἡρακλείτου ἁλώσεται γνώμῃ. καὶ ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται, θερμὰ ψύχεται. οἶδεν ἐμὴ σοφίη ὁδοὺς φύσεως, οἶδε καὶ νόσου παῦλαν. ἐὰν δὲ φθάσαν

9 ὁ ἀγών B : αὐτῶν vulg. || 19 εἰδέναι B : εἶναι vulg. || 22 ἡλίου vulg. corr. B || 26 ὥς γε B || 27 ὑπερβολὴ ὑγροῦ add. B || 29 τὸ] τι B || 30 ἄλλοι add. B || ἄλλα B : ἀλλὰ vulg. || καὶ] τὰς B || 35 σοφίη cod. Palatinus : σοφία B vulg.

ὑπέραντλον γένηται τὸ σῶμα, δύσεται εἰς τὸ εἱμαρμένον. ἀλλὰ οὐ ψυχὴ δύσεται, ἀλλὰ ἀθάνατον οὖσα χρῆμα εἰς οὐρανὸν ἀναπτήσεται μετάρσιος, δέξονταί δέ με αἰθέριοι δόμοι καὶ Ἐφεσίους συκοφαντήσω· πολιτεύσομαι οὐκ ἐν ἀνθρώποις, ἀλλ' ἐν θεοῖς, καὶ οὐχ ἱδρύσω ἄλλῳ βωμούς, ἀλλ' ἐμοὶ ἄλλοι, οὐδὲ ἀπειλήσει μοι ἀσέβειαν Εὐθυκλῆς, ἀλλ' ἐγὼ ἐκείνῳ χολήν. θαυμάζουσι πῶς ἀεὶ σκυθρωπὸς Ἡράκλειτος, οὐ θαυμάζουσι πῶς ἀεὶ πονηροὶ ἄνθρωποι. μικρὰ τῆς κακίας ὑπανεῖτε, κἀγὼ τάχα μειδιάσω. καίτοι πρᾳότερος ἐν τῇ νόσῳ νῦν ἐγενόμην, ὅτι οὐκ ἐντυγχάνω ἀνθρώποις, ἀλλὰ μόνος νοσῶ. τάχα καὶ ψυχὴ μαντεύεται ἀπόλυσιν ἑαυτῆς ἤδη ποτὲ ἐκ τοῦ δεσμωτηρίου τούτου καὶ σειομένου τοῦ σώματος ἐκκύπτουσα ἀναμιμνήσκεται τὰ πάτρια χωρία, ἔνθεν κατελθοῦσα περιεβάλετο ῥέον σῶμα, τὸ τεθνειὸς τοῦτο, ὃ δοκεῖ τοῖς ἄλλοις ζῆν ἐν φλέγμασι καὶ χολῇ καὶ ἰχῶρι καὶ αἵματι, [καὶ] νεύροις καὶ ὀστοῖς καὶ σάρκεσι πεπιλημένον. εἰ γὰρ μὴ τὰ πάθη ἐσοφίζετο τὴν κόλασιν, οὐκ ἂν ἤδη πρόπαλαι καταλιπόντες τὸ σῶμα ἐξήλθομεν ἀπ' αὐτοῦ; ἔρρωσο.

VI.

Τῷ αὐτῷ. Συνῆλθον οἱ ἰατροί, Ἀμφιδάμα, καὶ πάνυ προθύμως γε ἐπὶ τὴν ἐμὴν νοῦσον οὔτε τέχνην οὔτε φύσιν εἰδότες, ἀλλὰ τὸ μὲν οὐδὲ ἐβούλοντο, τὸ δὲ ἐδόκουν, ἄμφω δὲ ἠγνόουν. οὐδὲν πλέον ἢ κατεμάλαξάν μου τὴν γαστέρα ταῖς ἁφαῖς ὡς ἀσκόν. οἱ δὲ καὶ θεραπεύειν ἤθελον, ἀλλ' οὐκ ἐπέτρεψα, ἀλλὰ λόγον αὐτοὺς πρότερον ᾔτουν τῆς νόσου, καὶ οὐκ ἔδοσαν, οὐδὲ περιεγένοντό μου, ἀλλ' ἐγὼ αὐτῶν. "πῶς ἂν οὖν" ἔφην "δύναισθε αὐληταὶ τεχνῖται εἶναι ὑπὸ μὴ αὐλητοῦ ἡττημένοι; ἐμαυτὸν ἰάσομαι, ἢ ὑμεῖς, ἐάν γέ με διδάξητε, πῶς ἐξ ἐπομβρίας αὐχμὸν ποιητέον." οἱ δὲ οὐδὲ συνιέντες τὸ ἐρώτημα ἡσύχασαν ἀπορούμενοι ἐπιστήμης ἰδίου. ἔγνων ὅτι κἂν τοὺς ἄλλους οὐκ αὐτοί, ἀλλὰ τύχη ἰάσαιτο. οὗτοι ἀσεβοῦσιν, Ἀμφιδάμα, καταψευδόμενοι τεχνῶν ἃς οὐκ ἔχουσι καὶ θεραπεύοντες ἃ μὴ ἴσασι καὶ ἀποκτιννύντες ἀνθρώπους δι' ὀνόματος τέχνης ἀδικοῦντες καὶ φύσιν καὶ τέχνην. αἰσχρόν ἐστιν ὁμολογεῖν ἄγνοιαν, αἴσχιον ἐπιστήμην οὐκ ἔχοντα. τί αὐτοῖς ἡδὺ τὸ ψεύδεσθαι; ἢ ἵνα δι' ἀπάτης χρηματίσωνται; ἀμείνους ἂν ἦσαν μεταιτοῦντες· ἠλεοῦντο γοῦν ἄν· νῦν δὲ μισοῦνται καὶ βλάπτοντες καὶ ψευδόμενοι. εὐτελέστεραι αἱ ἄλλαι τέχναι, ταχέως ἐλέγχονται· δυσελεγκτότερα τὰ κρείττω. ἐλελήθεσάν με οἱ τοιοῦτοι ἐν τῇ πόλει. οὐδεὶς αὐτῶν ἰατρός, ἀλλὰ πάντες ἀπατεῶνες καὶ φένακες, σοφίσματα τέχνης ἀργυρίου πιπράσκοντες. Ἡρακλεόδωρον τὸν ἐμὸν θεῖον οὗτοι ἀπέκτειναν καὶ μισθὸν ἔλαβον, οἳ οὐκ ἐδυνήθησαν ἐμῆς νόσου λόγον εἰπεῖν, οὐδὲ ἐξ ἐπομβρίας πῶς

4 ἄλλῳ scripsi : ἄλλων B vulg. || 11 ῥέον τι σῶμα B : ῥέον τὸ σῶμα vulg. || 12 καὶ del. B || 13 κατεσοφίζετο B || 22 γέ WB : δέ cod. Mazarin. : om. vulg. || συνέντες Hercher || 23 κἂν Hercher : καὶ vulg. || 30 εὐτυχέστεραι vulg. corr. W || 33 τὸν om. WB

ἂν αὐχμὸς γένοιτο. οὐκ ἴσασιν ὅτι θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει, ἐπανισοῖ αὐτῶν τὸ ἄμετρον, τὰ θρυπτόμενα ἑνοποιεῖ, τὰ ὀλισθήσαντα ὑποφθὰς πιέζει, συνάγει τὰ σκιδνάμενα, φαιδρύνει τὰ ἀπρεπῆ, κατείργει τὰ ληφθέντα, διώκει τὰ φεύγοντα, φωτὶ μὲν ἀναλάμπει τὸ ζοφερόν, περατοῖ δὲ τὸ ἄπειρον, καὶ μορφὴν μὲν ἐπιβάλλει τοῖς ἀμόρφοις, ὄψεως δὲ ἀναπίμπλησι τὰ ἀναίσθητα. διὰ πάσης γὰρ ἔρχεται τῆς οὐσίας ἁρμοζόμενος, πλάττων, διαλύων, πηγνύς, χέων. τὸ μὲν ξηρὸν εἰς ὑγρὸν τήκει καὶ εἰς λύσιν αὐτὸ καθίστησι, καὶ λιβάδας μὲν ἐκθυμιᾷ, παχύνει δὲ χαλασθέντα τὸν ἀέρα, καὶ συνεχῶς τὰ μὲν ἄνωθεν διώκει, τὰ δὲ κάτωθεν ἱδρύει. ταῦτα κάμνοντος κόσμου θεραπεία. τοῦτον ἐγὼ μιμήσομαι ἐν ἐμαυτῷ, τοῖς δ' ἄλλοις χαίρειν λέγω.

VII.

Ἑρμοδώρῳ. Πυνθάνομαι Ἐφεσίους μέλλειν εἰσηγεῖσθαι νόμον κατ' ἐμοῦ ἀνομώτατον· οὐδεὶς γὰρ νόμος ἐφ' ἑνός, ἀλλὰ κρίσις. οὐκ ἴσασιν Ἐφέσιοι ὅτι ἕτερος δικαστὴς νομοθέτου. καὶ τόδε ἄμεινον, ἐπεὶ ἀπαθέστερον πρὸς ἄδηλον τὸν μέλλοντα πράξειν, ὁ δικάζων δὲ ὁρᾷ τὸν κρινόμενον, ᾧ συνάπτεται τὸ πάθος. ἴσασί με, Ἑρμόδωρε, συντεχνιτεύσαντά σοι τοὺς νόμους, κἀμὲ ἐλάσαι βούλονται, ἀλλ' οὐ πρότερόν γε ἢ ἐλέγξαι αὐτούς, ὅτι ἄδικα ἐγνώκασι, τὸν μὴ γελῶντα καὶ πάντα μισανθρωποῦντα πρὸ ἡλίου δύνοντος ἐξιέναι τῆς πόλεως, τοῦτο νομοθετεῖν βουλεύονται, οὐδεὶς δ' ἐστὶν ὁ μὴ γελῶν, Ἑρμόδωρε, ἢ Ἡράκλειτος, ὥστε με ἐλαύνουσιν. ὦ ἄνθρωποι, οὐ θέλετε μαθεῖν, διὰ τί ἀεὶ ἀγελαστῶ; οὐ μισῶν ἀνθρώπους, ἀλλὰ κακίαν αὐτῶν. οὕτω γράψατε τὸν νόμον, "εἴ τις μισεῖ κακίαν, ἐξίτω τῆς πόλεως," καὶ πρῶτος ἔξειμι. φυγαδευθήσομαι οὐ πατρίδος, ἀλλὰ πονηρίας ἄσμενος. μεταγράψατε τὸ διάταγμα. εἰ δὲ ὁμολογεῖτε Ἐφεσίους κακίαν εἶναι καὶ ὑμᾶς μισῶ, πῶς οὐκ ἂν ἐγὼ δικαιότερος νομοθέτης εἴην τοὺς ποιήσαντας Ἡράκλειτον διὰ πονηρίαν ἀγέλαστον ἐξιέναι τοῦ ζῆν, μᾶλλον δὲ μυρίαις ζημιοῦσθαι, εἰ πλέον ἀνιᾶσθε ἀργυρίῳ κολαζόμενοι; τοῦτο ὑμῶν ἐστι φυγή, τοῦτο θάνατος. ἠδικήκατέ με ἀφελόμενοι ὃ θεὸς ἔδωκε καὶ φυγαδεύετέ με ἀδίκως. ἢ τοῦτο ὑμᾶς πρῶτον ἀγαπήσω, ὅτι μου τὸ ἥμερον ἐξεκόψατε, καὶ οὐ παύεσθε ἐπαγωνιζόμενοι νόμοις καὶ φυγαδείαις; ἐν γὰρ τῇ πόλει μένων οὐ πεφυγάδευμαι ἀφ' ὑμῶν; τίνι συμμοιχεύω, τίνι συμμιαιφονῶ, τίνι συμμεθύω, τίνι συμφθείρομαι; οὐ φθείρω, οὐκ ἀδικῶ οὐδένα τῶν ἁπάντων, μόνος εἰμὶ ἐν τῇ πόλει. ἐρημίαν αὐτὴν πεποιήκατε διὰ κακίας. ἡ ἀγορὰ ὑμῶν Ἡράκλειτον ἀγαθὸν ποιεῖ; οὔκ· ἀλλὰ Ἡράκλειτος ὑμᾶς πόλιν. ἀλλ' οὐκ ἐθέλετε. ἐγὼ μὲν βούλομαι, καὶ νόμος εἰμὶ ἄλλων, εἷς

2 ἐπανισοῖ Hercher : ἐπανισῶν B, vulg. || ὀλισθήσοντα? || 3 διαληφθέντα B || 5 ὄψεως] ὀρέξεως B : fort. φρονήσεως || 6 πλήττων, ἁρμοζόμενος vulg. : πλάττων, ἁρμοζόμενος W : πλάττων, ἁρμόζων B || 13 ὅδε ἀμείνων, ἐπεὶ ἀπαθέστερος B || 23 ἐφεσίους cod. Pal., B : ἐφεσίοις vulg. || 26 εἰ] ἐπεὶ B || 34 fort. ἄλλῳ

δ' ὢν οὐκ ἀρκῶ πόλιν κολάζειν. θαυμάζετε εἰ μηδέ πω γελῶ, ἐγὼ δὲ τοὺς γελῶντας ὅτι ἀδικοῦντες χαίρουσι, σκυθρωπάζειν δέον οὐ δικαιοπραγοῦντας. δότε μοι καιρὸν γέλωτος ἐν εἰρήνῃ, ὥστε μὴ ἐπὶ τὰ δικαστήρια στρατεύεσθαι ἐν ταῖς γλώτταις ἔχοντες τὰ ὅπλα, ἀπεστερηκότες χρήματα, γυναῖκας φθείραντες, φίλους φαρμακεύσαντες, ἱεροσυλήσαντες, προαγωγεύσαντες, ὅρκοις φωραθέντες ἄπιστοι, τυμπανίσαντες, ἄλλος ἄλλου πλήρης κακοῦ. ταῦτα γελάσω ὁρῶν ἀνθρώπους ποιοῦντας ἢ ἐσθῆτα καὶ γένεια καὶ κεφαλῆς πόνους ἀτημελήτους ἢ γυναῖκα φαρμακέως ἐπειλημμένην τέκνου ἢ μειράκια τῆς οὐσίας ἐκβεβρωμένα ἢ πολίτην γαμετῆς ἀφῃρημένον ἢ κόρην βίᾳ διαπαρθενευθεῖσαν ἐν παννυχίσιν ἢ ἑταίραν οὔπω γυναῖκα καὶ γυναικῶν ἔχουσαν ἤδη πάθη ἢ διὰ ἀσέλγειαν νεανίσκον ἕνα πόλεως ἐραστὴν ὅλης ἢ τὰς τῶν ἐλαιῶν φθορὰς ἐν μύροις ἢ †τοὺς ἐν συνδείπνοις γινομένους διὰ δακτύλων πλείονας ἢ τὰς δι' ἐδεσμάτων πολυτελείας καὶ γαστέρας ῥέουσας ἢ τοὺς ἐπὶ σκηνῆς ἀγωνοθετουμένους δήμους† τὰ μεγάλα δίκαια; ἀφήσει δέ μου τὴν ὄψιν ἀρετὴ χυθῆναι ὑστέρα πονηρίας τεταγμένη; ἢ τοὺς ἀληθινοὺς ὑμῶν πολέμους γελάσω, ὅτε προφάσεις ἀδικημάτων ποιησάμενοι καταμιαιφονεῖσθε δύστηνοι ἐξ ἀνθρώπων θηρία γεγονότες, αὐλοῖς καὶ σάλπιγξι διὰ μουσικῆς εἰς ἄμουσα πάθη παροξυνόμενοι, σίδηρος δὲ ἀρότρων καὶ γεωργίας δικαιότερον ὄργανον σφαγαῖς καὶ θανάτῳ ηὐτρέπισται, ὑβρίζεται δὲ δι' ὑμῶν θεός, Ἀθηνᾶ πολεμίστρια καὶ Ἄρης ἐνυάλιος καλούμενος, φάλαγγας δὲ ἀντιστήσαντες ἄνθρωποι κατὰ ἀνθρώπων ἀλλήλων σφαγὰς εὔχεσθε, ὡς λειποτάκτας τοὺς μὴ μιαιφονοῦντας τιμωρούμενοι καὶ ὡς ἀριστέας τοὺς ἐμπλεονάσαντας αἵματι τιμῶντες; λέοντες δ' οὐχ ὁπλίζονται κατ' ἀλλήλων οὐδὲ ξίφη ἀναλαμβάνουσιν αἱ ἵπποι, οὐδὲ τεθωρακισμένον ἂν ἴδοις ἀετὸν ἐπ' ἀετῷ. οὐδὲν ἄλλο μάχης ἔχει ὄργανον, ἀλλ' ἑκάστῳ τὰ μέρη καὶ ὅπλα· τοῖς μὲν κέρατα τὰ ὅπλα, τοῖς δὲ ῥύγχη, τοῖς δὲ πτερά, [τοῖς δὲ τάχος,] ἄλλοις μέγεθος, ἄλλοις ὀλιγότης, οἷς δὲ τάχος, οἷς δὲ νῆξις, πολλοῖς δὲ πνεῦμα. οὐδὲν ξίφος ἄλογα ποιεῖ ζῷα χαίρειν ὁρῶντα φυλαττόμενον ἐν αὑτοῖς φύσεως νόμον, ἀλλ' οὐκ ἐν ἀνθρώποις. μᾶλλον δὲ †τοῦτο πλέον ἂν εἴη παράβασις ἐν κρείττοσι τὸ ἀβέβαιον†. τέλος δὲ πολέμων τί ὑμῖν εὐκτέον ἄρα; ἢ δι' ἐκεῖνο παύσετέ με κατηφείας; πόθεν; οὐχὶ δὲ πλέον . . . ὁμοφύλων σφῶν καὶ δενδροτομουμένη γῆ καὶ ἀναρπαζομένη πόλις καὶ γῆρας προπηλακιζόμενον καὶ γυναῖκες ἀπαγόμεναι καὶ τέκνα ἐξ ἀγκαλῶν

1 δ' add. B || 5 ὄχλοις ὁραθέντες vulg. corr. B || 12 τὰς ἐν σ. γινομένοις διὰ δακτυλίων παροινίας B : τὰς ἐν σ. κενουμένας διὰ δακτύλων πλησμονάς Doehner || 13 κάτω γαστέρος B || 14 σκηναῖς cod. Pal., B : excidisse nonnulla videntur || 15 διαχυθῆναι B || 16 fort. εἶτα μιαιφονεῖσθε || 17 μάστιξι vulg. corr. B Hercher || 19 σφαγῆς καὶ θανάτων B, vulg. : corr. W || 26 fort. τοῖς δὲ πτέρναι || 27 τάχος Aldina : πάχος codd. Mazarin. Pal., WB || 28 οὐδὲν vulg. : οὐδενὶ cod. Maz. : fort. οὐδὲ (vel οὐδ' ἔνι ξ. ἄ. ποιεῖν) || 29 τοῦτο δέον ἂν εἴη. ἢ π. ἐν κρείττοσι. τὸ ἀβέβαιον δὲ τέλος B || 31 fort. εὐκταῖον || πλέον ἢ ὁμ. B : fort. πλέον πᾶν ὁμ. σφαγῶν

ἀποσπώμενα καὶ θάλαμοι διαφθειρόμενοι καὶ παρθένοι παλλακευόμεναι καὶ μειράκια θηλυνόμενα καὶ ἐλεύθεροι σιδηροδετούμενοι καὶ ναοὶ θεῶν κατασπώμενοι καὶ ἡρῷα δαιμόνων ἀνορυττόμενα καὶ παιᾶνες ἀνοσίων ἔργων καὶ χαριστήρια θεοῖς ἀδικίας; ταῦτα ἀγελαστῶ. ἐν εἰρήνῃ πολεμεῖτε διὰ λόγων, ἐν πολέμῳ πολιτεύεσθε διὰ σιδήρου· ἁρπάζετε τὸ δίκαιον ἐν ξίφεσιν. Ἑρμόδωρος ἐλαύνεται νόμους γράφων, Ἡράκλειτος ἐλαύνεται ἀσεβείας. αἱ πόλεις ἔρημοι καλοκαγαθίας, αἱ ἐρημίαι πρὸς τὸ ἀδικεῖν ὄχλοι. τείχη ἕστηκεν, ἀνθρώπων σύμβολα πονηρίας, ἀποκλείοντα τὴν βίαν ὑμῶν· οἰκίαι περιβέβληνται πᾶσιν, ἕτερα τείχη πλημμελείας· οἱ ἔνδον πολέμιοι, ἀλλὰ πολῖται, οἱ ἐκτὸς πολέμιοι, ἀλλὰ ξένοι. πάντες ἐχθροί, οὐδένες φίλοι. δύναμαι γελάσαι ἐχθροὺς ὁρῶν τοσούτους; τὸν ἀλλότριον πλοῦτον ἴδιον οἴεσθε, τὰς ἀλλοτρίας γυναῖκας ἰδίας νομίζετε, τοὺς ἐλευθέρους ἀνδραποδίζετε, τὰ ζῶντα κατεσθίετε, τοὺς νόμους παραβαίνετε, παρανομίας νομοθετεῖτε, πάντα βιάζεσθε ἃ μὴ πεφύκατε. τὰ μάλιστα δοκοῦντα δικαιοσύνης εἶναι σύμβολα, οἱ νόμοι, ἀδικίας εἰσὶ τεκμήριον. εἰ γὰρ μὴ ἦσαν, ἀνέδην ἂν ἐπονηρεύεσθε· νῦν δ' εἴ τι καὶ μικρὸν ἐπιστομίζεσθε φόβῳ κολάσεως, κατέχεσθε εἰς πᾶσαν ἀδικίαν.

VIII.

Τῷ αὐτῷ. Δήλου μοι, Ἑρμόδωρε, πότε ἀπαίρειν κέκρικας εἰς Ἰταλίαν. δέξαιντό σε οἱ ἐκείνης τῆς χώρας θεοὶ καὶ δαίμονες ἡδέως. ὄναρ ἐδόκουν τοῖς σοῖς νόμοις τὰ παρὰ πάσης τῆς οἰκουμένης διαδήματα προσιέναι καὶ κατὰ τὸ ἔθος τῶν Περσῶν ἐγκλώμενα ἐπὶ στόμα προσκυνεῖν αὐτούς, οἱ δὲ σεμνῶς πάνυ καθειστήκεσαν. προσκυνήσουσί σε Ἐφέσιοι μηκέτι ὄντα, ὅταν οἱ σοὶ νόμοι πᾶσιν ἐπιτάττωσι, καὶ τότε χρήσονται αὐτοῖς ἀναγκαζόμενοι. θεὸς γὰρ ἀφείλετο ἐκείνους ἡγεμονίαν καὶ ἑαυτοὺς ἐνόμισαν ἀξίους δουλεύειν. τοῦτο μεμάθηκα καὶ ἐκ πατέρων. ὅλη Ἀσία κτῆμα ἐγένετο βασιλέως καὶ πάντες Ἐφέσιοι λάφυρον. ἀήθεις εἰσὶν ἐλευθερίας ἀληθοῦς, τοῦ ἄρχειν. καὶ νῦν ὡς εἰκὸς ὑπακούσονται κελευόμενοι, ἢ μὴ πεισθέντες οἰμώξονται. καὶ μέμφονται θεοὺς ἄνθρωποι ὅτι αὐτοὺς οὐ πλουτίζουσιν ἀγαθά, οὐ μέμφονται ἴδιον ἦθος ἀφροσύνης. τυφλῶν ἐστι μὴ δέξασθαι ἃ δίδωσι χρηστὰ δαίμων. Σίβυλλα ἐν πολλοῖς καὶ τοῦτο ἐφράσθη· "ἥξειν σοφὸν Ἰταλίῃσιν ἐξ Ἰάδος χώρης." εἶδέ σε πρὸ τοσούτου αἰῶνος, Ἑρμόδωρε, ἡ Σίβυλλα ἐκείνη καὶ τότε ἦσθα, Ἐφέσιοι δὲ οὐδὲ νῦν βούλονται ὁρᾶν, ὃν διὰ θεοφορουμένης γυναικὸς Ἀλήθεια ἔβλεπε. σοφὸς μεμαρτύρησαι, Ἑρμόδωρε, Ἐφέσιοι δὲ ἀντιλέγουσι θεοῦ μαρτυρίᾳ. ἀποτίσονται ἑαυτῶν ὕβριν καὶ νῦν ἀποτίνυνται γνώμης ἀναπιμπλάντες ἡμᾶς κακῆς. οὐκ ἀφαιρούμενος πλοῦτον κολάζει θεός, ἀλλὰ καὶ μᾶλλον δίδωσι πονηροῖς, ἵν' ἔχοντες

15 δὲ εἴ τι B : δέ τι vulg. || 34 ἡμᾶς] σφᾶς B : fort. γνώμην ἀναπ. κακήν. ἡμᾶς οὐκ

δι' ὧν ἁμαρτάνουσιν ἐλεγχθήσονται καὶ περιουσιάζοντες σκηνοβατῶσιν αὐτῶν τὴν μοχθηρίαν· ἡ δ' ἀπορία παρακάλυμμά ἐστιν. μὴ ἐπιλίποι ὑμᾶς τύχη, ἵνα ὀνειδίζησθε πονηρευόμενοι. οὗτοι μὲν χαιρόντων, σὺ δέ μοι δήλου τὸν καιρὸν τῆς ἐξόδου. πάντως ἐντυχεῖν σοι βούλομαι καὶ περί τε ἄλλων πάνυ συχνῶν καὶ περὶ αὐτῶν τῶν νόμων βραχέα εἰπεῖν. ἔγραφον δ' ἂν αὐτά, εἰ μὴ περὶ παντὸς ἐποιούμην ἀπόρρητα μεῖναι. οὐδὲν δὲ οὕτω σιωπᾶται ὡς ἑνὶ λαλῶν εἷς, καὶ ἔτι μᾶλλον Ἡράκλειτος Ἑρμοδώρῳ. πολλοὶ οὐ διαφέρουσι κεραμίων σαθρῶν, ὡς μηδὲν στέγειν δύνασθαι, ἀλλ' ὑπὸ γλωσσαλγίας διαρρεῖν. Ἀθηναῖοι ὄντες αὐτόχθονες ἔγνωσαν φύσιν ἀνθρώπων, ὅτι γενόμενοι ἐκ γῆς ἔσθ' ὅτε διερρωγότα ἔχουσι νοῦν. τούτους ἐπαίδευσαν φυλακὴν ἀπορρήτων διὰ μυστηρίων, ἵνα πως φόβῳ σιγῶσιν, ἀλλ' οὐ κρίσει, καὶ μηκέτι χαλεπὸν ᾖ τὸ μελετῆσαι τῇ ψυχῇ σιωπᾶν.

IX.

Τῷ αὐτῷ. Ἄχρι τίνος, Ἑρμόδωρε, κακοὶ ἔσονται ἄνθρωποι καὶ οὐκέτι εἷς ἕκαστος ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ πόλεις ὅλαι; Ἐφέσιοί σε ἀνδρῶν ὄντα ἄριστον ἐλαύνουσιν. ἀντὶ τίνος ἢ ὅτι νόμους γράφεις τοῖς ἀπελευθέροις ἰσοπολιτείας καὶ τοῖς τούτων τέκνοις ἰσοτιμίας; καίτοι γε ὁ μὲν γνήσιος πολίτης οὐ κριθεὶς ἀγαθὸς γίνεται, ἀλλὰ γεννηθεὶς ἀναγκάζεται, καὶ οὐδ' . . . . ἢν ἀναγκασθῇ, πολλάκις κακὸς ἔμεινεν, οἱ δὲ δοκιμασθέντες ἀξιοῦνται τοῦ πολιτεύματος μαρτυρήσαντες βίῳ τὸ ἰσότιμον, πόσῳ κρείττους, οἱ δι' ἀρετῆς ἐγγραφόμενοι; Λακεδαιμόνιοι δὲ μετ' ἄλλων καὶ τοῦτο ἀγαθοί, οὐ γράμμασιν ἀποδεικνύντες Σπαρτιάτας, ἀλλ' ἀγωγῇ· κἂν ἐλθών τις Σκύθης ἢ Τριβαλλὸς ἢ Παφλαγὼν ἢ μηδὲν ἔχων ὄνομα χώρης ὑποστῇ τὴν Λυκούργειον σκληραγωγίαν, Λάκων ἐστίν, ὥστε ἕκαστος τῶν πολιτευθέντων ἐν ἑαυτῷ φέρων τὴν πατρίδα ἔρχεται, πάσης δὲ πόλεως φυγαδεύει κακία, κἂν ἐν μέσαις ταῖς στήλαις τις οἰκῇ. οὐδὲ Ἐφέσιον εἶναί τινα πείθομαι, εἰ μὴ ὡς κύνα Ἐφέσιον ἢ βοῦν, ἀνὴρ δὲ Ἐφέσιος, εἰ ἀγαθός, κόσμου πολίτης. τοῦτο γὰρ κοινὸν πάντων ἐστὶ χωρίον, ἐν ᾧ νόμος ἐστὶν οὐ γράμμα, ἀλλὰ θεός, καὶ ὁ παραβαίνων ἃ χρὴ ἀσεβήσει· μᾶλλον δὲ οὐδὲ παραβήσεται, εἰ παραβὰς οὐ λήσεται. πολλαὶ δίκης Ἐρινύες, ἁμαρτημάτων φύλακες. Ἡσίοδος ἐψεύσατο τρεῖς μυριάδας εἰπών· ὀλίγαι εἰσίν, οὐκ ἀρκοῦσι κακίᾳ κόσμου· πολύ ἐστι πονηρία. ἐμοὶ δὲ πολῖται θεοί, θεοῖς ξυνοικῶν δι' ἀρετῆς οἶδα ἥλιον ὁπόσος ἐστί, πονηροὶ δὲ οὐδ' ὅτι εἰσίν. ἢ αἰσχύνονται Ἐφέσιοι

1 ἐλεγχθήσονται cod. Maz. : ἐλεγχθήσωνται vulg. : ἐλέγχωνται Pantazides ab Herchero cit. (v. tamen E. A. Sophocles Lex. Gr. s. v. ἵνα) || 11 ἵνα πως B : ἵν' ὡς W. vulg. || 15 νόμοις B : δούλοις W || ἐλευθέροις vulg. corr. B || 16 ἰσοπολιτείαν WB || ἰσοτιμίαν WB || 17 καὶ οὐδὲν ἧττον, κἂν ἀναγκασθῇ B || 18 οἱ Boissonade B : οἱ W || 20 ἀρετῆς cod. Par. 1760 : ἀρετὴν vulg. || 22 χώρης cod. Par. 1760 : χώρας vulg.

δούλους ἀγαθοὺς εἶναι; εἰκότως· αὐτοὶ γὰρ κακοὶ ἐλεύθεροι, οἳ οὐκ ἐλευθέροις πάθεσιν εἴκουσι. παυσάσθωσαν οἷοί εἰσι καὶ ἀγαπήσουσι πάντας ἰσότητι ἀρετῆς. τί δὲ οἴεσθε, ὦ ἄνθρωποι, εἰ θεὸς οὐ πεποιηκὼς κύνας οὐδὲ πρόβατα δούλους, οὐδὲ ὄνους οὐδὲ ἵππους οὐδὲ ὀρεῖς, ἀνθρώπους ἐποίησε; καὶ ὅτι κρείττονας ἐκάκωσε δουλείᾳ, οὐκ αἰσχύνεσθε καὶ τοῦτο τῆς ὑμετέρας ἀδικίας καὶ ἔργον καὶ ὄνομα; πόσῳ κρείσσονες Ἐφεσίων λύκοι καὶ λέοντες. οὐκ ἐξανδραποδίζονται ἀλλήλους, οὐδὲ ἐπρίατο ἀετὸς ἀετὸν οὐδὲ λέων λέοντα οἰνοχοεῖν, οὐδὲ ἐξέτεμε κύων κύνα, ὡς ὑμεῖς τὸν τῆς θεοῦ Μεγάβυζον, φοβούμενοι τῇ παρθενίᾳ αὐτῆς ἄνδρα ἱερᾶσθαι. μή πως ἀσεβήσαντες εἰς φύσιν εὐσεβεῖτε εἰς ξόανον. ἵνα θεοῖς καταρᾶται πρῶτον ὁ ἱερεὺς ἀφῃρημένος τὸν ἄνδρα, κατέγνωτε καὶ τῆς θεοῦ ἀκρασίαν, εἰ φοβεῖσθε ὑπ' ἀνδρὸς αὐτὴν θεραπεύεσθαι. "μὴ συγκαθιζέτω μοι δοῦλος μηδὲ συνδειπνείτω" Ἐφέσιοι λέγουσιν· ἐγὼ δὲ ἐρῶ δικαιοτέραν φωνήν· συγκαθιζέτω μοι ἀγαθὸς καὶ συνδειπνείτω μοι, μᾶλλον δὲ προκαθιζέτω, προτιμηθήτω· οὐ γὰρ τύχη τὸ ἰσούμενον, ἀλλ' ἀρετή. τί ὑμᾶς ἀδικεῖ Ἑρμόδωρος, Ἐφεσίους ὑπομιμνήσκων πάντας ἀνθρώπους εἶναι καὶ μηδένα μεγαλαυχεῖν τύχῃ ὑπὲρ φύσιν; μόνη πονηρία δουλαγωγεῖ, μόνη ἐλευθεροῖ ἀρετή, ἀνθρώπων δὲ οὐδείς. κἂν ἐπιτάττητε ἄλλοις διὰ τύχην ἀγαθοῖς οὖσιν, αὐτοὶ δοῦλοί ἐστε δι' ἐπιθυμίαν κελευόμενοι ὑπὸ τῶν ἑαυτῶν δεσποτῶν. οὐ φοβεῖσθε δέ, ὦ ἄνθρωποι, πόλεως ὀλιγανδρίαν; τί οὖν ἔπηλυ εἰσάξετε πλῆθος, δέον τοὺς ὑφ' ὑμῶν ἀχθέντας καὶ τραφέντας καὶ ἀπειλαῖς καὶ κολάσεσι καὶ φόβοις ἀγαθοὺς γεγονότας; ἔσονται κρείττους, Ἑρμόδωρε, οἱ πεισθησόμενοι τοῖς σοῖς νόμοις. μὴ χαλέπαινε. μαντεύεται τὸ ἐμὸν ἦθος, ὅπερ ἑκάστῳ δαίμων. ναί· πεισθήσονται, ὧν ἔσται καὶ τὸ σύμπαν κράτος μιμησαμένων φύσιν. σῶμα δοῦλον ψυχῆς συμπολιτεύεται ψυχῇ, καὶ οὐ χαλεπαίνει νοῦς ἰδίοις συνοικῶν ὑπηρέταις, καὶ γῆ, τὸ ἀτιμότατον ἐν κόσμῳ, οὐρανῷ συνάρχει καὶ οὐκ ἀναίνεται οὐρανὸς ἐπίκηρα ἐδάφη, οὐδὲ καρδία σπλάγχνα, τὸ ἱερώτατον χρῆμα τὰ φαυλότατα ἐν σώματι. ἀλλὰ θεὸς μὲν οὐκ ἐφθόνησεν ἐπίσης ἅπασιν ὀφθαλμοὺς ἅψαι καὶ ἀκοὰς ἀναπετάσαι καὶ γεῦσιν καὶ ὄσφρησιν καὶ μνήμην καὶ ἐλπίδα, καὶ ἡλίου φῶς οὐκ ἀπέκλεισε δούλων, πάντας ἀνθρώπους κόσμου καταλέξας πολίτας· Ἐφέσιοι δὲ τὴν ἑαυτῶν πόλιν ὑπερκόσμιον οἴονται μηδέποτε τῶν κοινῶν ἀξιοῦντες . . . ὁρᾶτε μὴ ἀσεβεῖτε θεῷ ἀντιπολιτευόμενοι. ἀεὶ βούλεσθε μισεῖσθαι ὑπὸ δούλων, καὶ ἐν ᾧ ὑπηρέτουν πρότερον καὶ ἐν ᾧ ἀτιμοῦνται ὕστερον; τί οὖν αὐτοὺς ἠλευθεροῦτε, εἰ μὴ ἀξίους ἐνομίζετε; ἢ ὅτι πάθεσιν ὑμῶν ὑπήκουσαν; ἐκείνοις οὖν χαλεπαίνετε, οἳ διὰ τύχην ἐλειτούργουν, ἀλλ' οὐχ ἑαυτοῖς, οἳ διὰ κακίαν ἐπετάξατε; οἰκτροὶ ἦσαν τὰ κακὰ φόβῳ ἀνεχόμενοι, κατάρατοι δ' ὑμεῖς ἐπιτάττοντες τὰ χείρω· καὶ τότε

8 λέοντι οἰνοχοεῖ WB ‖ 9 μή πως scripsi : ἢ πῶς W. πῶς B ‖ 10 ἵνα] ἢ ἵνα B ‖ 23 ναί· B : καὶ vulg. ‖ 27 ἐπίκαιρα vulg. corr. B ‖ 32 excidisse verbum suspicor ‖ ἀσεβῆτε Hercher ‖ 36 ἐπάσχετε vulg. corr. B

πικροτέροις ἐδουλεύετε δεσπόταις, καὶ νῦν ἔτι δουλεύετε φοβούμενοι ὧν ἤρξατε. τί οὖν βούλεσθε; τῆς πόλεως ἀθρόοι πάντες ἐξέλθωσι καὶ ἐξελθόντες ἰδίαν πόλιν κτίσωσι, καταρώμενοι ὑμῖν καὶ παισὶ παίδων ἀνεπιβασίαν ψηφισάμενοι; πολέμους ἑαυτοῖς τρέφετε, Ἐφέσιοι, καὶ τοῖς μέλλουσι παισὶ πρὸς τοὺς μέλλοντας ἐξ ἐκείνων. ὄψονται, Ἑρμόδωρε, Ἐφέσιοι τὰ ἑαυτῶν, σὺ δὲ χαῖρε ἀγαθὸς ὤν.

4 πολεμίους vulg. corr. B

EPIMETRUM

AD EXCERPTA HIPPOCRATEA.

Cum parte posteriore disputationis Hippocrateae conferenda Bernaysius mihi indicavit ea quae de arte chemica habet Zosimus (v. Fabricius Bibl. Graec. viii. p. 71 ed. Harl.) in scriptiuncula *περὶ ἀρετῆς καὶ συνθέσεως ὑδάτων*: extat locus impressus in Ferdinandi Hoeferi historia chemiae, t. i. p. 499 (*histoire de la chimie*, Par. 1842):—

καλὸν τὸ λέγειν καὶ καλὸν τὸ ἀκούειν, καλὸν τὸ διδόναι καὶ καλὸν τὸ λαμβάνειν, καλὸν τὸ πενητεύειν καὶ καλὸν τὸ πλουτεῖν, καί πως ἡ φύσις μανθάνει διδόναι καὶ λαμβάνειν. δίδωσιν ὁ χαλκάνθρωπος καὶ λαμβάνει ὁ ὑγρόλιθος, δίδωσι τὸ μέταλλον καὶ λαμβάνει ἡ βοτάνη, διδοῦσιν οἱ ἀστέρες καὶ λαμβάνει τὰ ἄνθη, δίδωσιν ὁ οὐρανὸς καὶ λαμβάνει ἡ γῆ, διδοῦσιν αἱ βρονταὶ ἐκ τοῦ τροχίζοντος [*τοῦ ἐκτροχίζοντος* cod. Bodl.] *πυρὸς καὶ συμπλέκονται τὰ πάντα καὶ ἀποπλέκονται τὰ πάντα καὶ συντίθενται τὰ πάντα καὶ μιγνύονται* [*μίσγονται* Bodl.] *καὶ ἀποκρίνανται* [*κιρνᾶται* Bodl.] *τὰ πάντα καὶ κυβερνᾶται* [*ἀποκιρνᾶται* Bodl.] *τὰ πάντα καὶ ἀποβρέχονται* [*βρέξει* Bodl.] *τὰ πάντα καὶ ἀνθεῖ τὰ πάντα καὶ ἐξανθεῖ τὰ πάντα ἐν τῷ φιαλοβώμῳ· ἀρίστῃ* [*ἕκαστον γὰρ* Bodl.] *μεθόδῳ καὶ συγκόμματι* [*σηκώματι* Bodl.] *καὶ οὐγκιασμῷ συγκεράσματι τετραστοίχῳ* [*τετραχίστῳ* Bodl., om. *συγκ.*]. *ἡ δὲ τῶν ὅλων πραγματεία συμπλοκή ἐστι καὶ ἀποπλοκή. καὶ ὁ πᾶς σύνδεσμος οὐκ ἄνευ μεθόδου γίνεται. ἡ μέθοδος φυσική ἐστι, καὶ φυσῶσα καὶ ἐκφυσῶσα καὶ τὰς τάξεις τηροῦσα τῆς μεθόδου, αὐξάνουσα καὶ ἐλαττοῦσα καὶ τὰ πάντα συντόμως* [*π. ὡς ἐν συμφώνῳ* Bodl.] *σύμφωνα τῇ διαιρέσει καὶ τῇ ἑνώσει ποιοῦσα, τῇ μεθόδῳ μηδενὸς ὑποληφθέντος· ἡ γὰρ μέθοδος* [*τῆς μεθόδου μηδὲν ὑπολειφθείσης* Bodl.] *ἐκστρέφει τὴν φύσιν, καὶ ἡ φύσις στρεφομένη εἰς ἑαυτὴν στρέφεται. καὶ αὕτη ἐστὶν ἡ τοῦ παντὸς φύσις καὶ σύνδεσμος.*

INDEX SCRIPTORUM.

Adpositi numeri Fragmenta indicant ad quae *locos scriptorum citavimus.*

INDEX VERBORUM.

Numeri Fragmenta indicant.

Fragmentorum ordo editionis Schleiermacheranae.

Ed. Schl.	*Ed. nostr.*	*Ed. Schl.*	*Ed. nostr.*
Fr. 1	CVIII	*37	LIX
(p. 328)	CIX	*38	LXXVIII
2	V	(p. 434)	XLIII
3	III	39	CIV
4	VI	(p. 440)	LVII
5	CXV	40	XXVII
6	VII	41	XXII
7	VIII	42	LXIV
8	CXVIII	43	LXXXV
9	XII	44	XIX
10	XI	(p. 479)	CVII
11	LXV.	45	CX
12	CXVI	46	CXIV
13	XVI	47	II
14	XVII	48	XCII
(p. 345)	XLIII	49	LXVIII
(p. 346)	CXX	50	[ad LXXVIII
15	CXII	(p. 495)	CXXXI
16	CIII	(p. 496)	CXXVI
17	XVIII	51	LXVII
18 (p. 478)	XCI	52	CXXII
19	C	53	CII
20	XLI	54	CI
(p. 358)	XL	55	LXXXVI
21	XLII	56	LXVI
22	IV	57	CXXI
23	XV	58	CV
(p. 365)	XXXVIII	59	LXXIII
24	XXXVII	60	LXXVI
(p. 372–5)	XXV	61	LXXIV
25	XX, XXI	62	LXXV
26	XXIII	63	[ad LXXIV]
27	XLV	(p. 517)	LXXII
28	LXIX	(p. 520)	XC
29	XXXII	"	XCV
30	XXIX	64	LXXVII
31	XXX	65	CXXXII
32	XXXI	(p. 521)	CXXXIII
(p. 400)	XXXIV	(p. 522)	CXXXIV
(p. 409)	XLIV	"	CXXXVI
(p. 410)	LXI	"	CXXXVII
33	XLVI	66	XCVI
(p. 411)	XLV	67	XCVII
34	LVI	68	CXVII
35	LXII	69	LX
36	XLVII	70	CXXVII
37	LV	(p. 525)	CXXIV
38	XCVIII, XCIX	71	CXI
(p. 423)	LXIII	(p. 527)	XLVIII
(p. 429)	LXXIX	72	LXXXI
(p. 430)	CXXIX	73	LXXX
(p. 431)	CXXX		